THE DIVINE LITURGY


OF OUR FATHER AMONG THE SAINTS JOHN CHRYSOSTOM

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ



St Andrew’s Orthodox Press
SYDNEY
2005


IC
Ὤ
XC
Ὀ
Ν

First published 1996 by
Greek Orthodox Archdiocese of Australia
242 Cleveland Street
Redfern NSW 2016
Australia
Reprinted with revisions and additions 1999
Reprinted with further revisions and additions 2005
Reprinted 2011

National Library of Australia
Cataloguing-in-Publication Data

The divine liturgy of our father among the saints John Chrysostom = I theia leitourgia tou en agiois patros imon Ioannou tou Chrysostomou.

ISBN 0 646 44791 2.

1. Orthodox Eastern Church. Liturgy of St. John Chrysostom.
2. Orthodox Eastern Church. Prayer-books and devotions.
3. Prayers. I. Greek Orthodox Archdiocese of Australia.


242.8019

Typeset in 11/12 point Garamond and 10/11 point SymbolGreek II (Linguist's Software)

CONTENTS

PREFACE

The Divine Liturgy in English translation is published with the blessing of His Eminence Archbishop Stylianos of Australia. It is the product of the continuing work of the Committee on the Translation of Liturgical Texts, formed in 1990 under the chairmanship of Dr John Lee. Work on the Divine Liturgy began in mid 1992. His Grace Bishop Seraphim of Apollonias has kindly acted as adviser to the Committee. The style of language and objectives are the same as in the *Book of Prayers: A Selection for Orthodox Christians* (1993) and common material is re-used. In the preparation of this translation, existing translations have been carefully compared and all renderings have been re-examined in the light of the Greek original, before final decisions have been reached. The Greek text is based primarily on that in the edition of the Holy Monastery of Simonopetra, Mt Athos (1992). It is the hope of the Committee that its work will help to bring about uniformity in the English liturgical texts used in Australia.


ΙΩΑΝΝΗΣ

THE DIVINE LITURGY
OF OUR FATHER AMONG THE SAINTS JOHN CHRYSOSTOM

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Διάκονος· **Ε**ὐλόγησον, δέσποτα.

Ἱερεύς· **Ε**ὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν**.

Τὰ Εἰρηνικά

Διάκονος· **Ἐ**ν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

THE DIVINE LITURGY OF OUR FATHER AMONG THE SAINTS JOHN CHRYSOSTOM

Deacon: **B**less, master.

Priest: **B**lessed is the kingdom of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Litany for Peace

Deacon: **I**n peace let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or the peace from above and the salvation of our souls, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or the peace of the whole world, the stability of the holy Churches of God and the union of all, let us pray to the Lord.

People: **Lord, have mercy.**

Διάκονος· **Ὑ**πὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ τῆς χώρας ἡμῶν ταύτης, τῶν ἀρχόντων, κυβερνητῶν καὶ σύμπαντος τοῦ λαοῦ αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Deacon: **F**or this holy house and those who enter it with faith, reverence and fear of God, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or our Archbishop (name), the honourable priesthood, the diaconate in Christ, and all the clergy and laity, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or this land, its civil authorities and all its people, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or this city, and every city and country, and the faithful who live in them, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or seasonable weather, the abundance of the fruits of the earth, and peaceful times, let us pray to the Lord.

People: **Lord, have mercy.**

Διάκονος· **Ὑ**πὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ὑ**πὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Τ**ῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λαός· **Σοί, Κύριε**.

Ἡ Εὐχὴ τοῦ Πρώτου Ἀντιφώνου

Ἱερεύς (χαμηλοφώνως)· Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν

Deacon: **F**or those who are travelling by land, sea or air, the sick, the suffering, for captives, and the safety of them all, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or our deliverance from all affliction, anger, danger and distress, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **C**ommemorating our all-holy, pure, most blessed, glorious Lady Theotokos and ever-virgin Mary with all the Saints, let us commend ourselves and one another and our whole life to Christ our God.

People: **To you, O Lord.**

Prayer of the First Antiphon

Priest (in a low voice): Lord our God, whose might is beyond compare and whose glory is beyond understanding, whose mercy is beyond measure and whose love for us is beyond tell-

σου, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Ἱερεύς· **Ὅ**τι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν**.

Τὸ Πρῶτον Ἀντίφωνον

Στίχος. **Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχος. **Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχος. **Κ**ύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

ing; in your loving kindness, Master, look upon us and upon this holy house, and grant to us, and to those who pray with us, the riches of your mercy and compassion.

Priest: **F**or to you belong all glory, honour and worship, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

First Antiphon

Verse. **B**less the Lord, O my soul, and all that is within me bless his holy name.

Through the intercessions of the Theotokos, Saviour, save us.

Verse. **B**less the Lord, O my soul, and forget not all that he has done for you.

Through the intercessions of the Theotokos, Saviour, save us.

Verse. **T**he Lord in heaven has prepared his throne, and his kingdom rules over all.

Through the intercessions of the Theotokos, Saviour, save us.

Ἡ Μικρὰ Συναπτή

Διάκονος· **Ἔ**τι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Τ**ῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λαός· **Σοί, Κύριε**.

Ἡ Εὐχὴ τοῦ Δευτέρου Ἀντιφώνου

Ἱερεύς (χαμηλοφώνως)· Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἱερεύς· **Ὅ**τι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς

Small Litany

Deacon: **A**gain and again, in peace let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **C**ommemorating our all-holy, pure, most blessed, glorious Lady Theotokos and ever-virgin Mary with all the Saints, let us commend ourselves and one another and our whole life to Christ our God.

People: **To you, O Lord.**

Prayer of the Second Antiphon

Priest (in a low voice): Lord our God, save your people and bless your inheritance; protect the whole body of your Church; sanctify those who love the beauty of your house; glorify them in return by your divine power, and do not forsake us who hope in you.

Priest: **F**or yours is the dominion, and yours is the kingdom and the power and the glory,

καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Τὸ Δεύτερον Ἀντίφωνον

Στίχος. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον. Αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἐν καθημεριναῖς·
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχος. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχος. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Second Antiphon

Verse. **P**raise the Lord, O my soul. I will praise the Lord in my life, I will sing to my God while I have my being.

Save us, Son of God, who rose from the dead; we sing to you, Alleluia.

On Weekdays:
Save us, Son of God, who are wondrous in your Saints; we sing to you, Alleluia.

Verse. **B**lessed is he whose help is the God of Jacob, whose hope is in the Lord his God.

Save us, Son of God, who rose from the dead; we sing to you, Alleluia.

Verse. **T**he Lord will reign for ever; your God, O Sion, to generation after generation.

Save us, Son of God, who rose from the dead; we sing to you, Alleluia.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἡ Μικρὰ Συναπτή

Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους

Glory to the Father and the Son and the Holy Spirit;

Both now and ever and to the ages of ages. Amen.

Only-begotten Son and Word of God, you who are immortal, and consented for our salvation to be incarnate of the holy Theotokos and ever-virgin Mary, without change becoming human, and who were crucified, Christ our God, by death trampling on death; you who are one of the Holy Trinity, glorified together with the Father and the Holy Spirit, save us.

Small Litany

Deacon: **A**gain and again, in peace let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **C**ommemorating our all-holy, pure, most blessed, glorious Lady Theotokos and ever-virgin Mary with all the Saints, let us

καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λαός· **Σοί, Κύριε**.

Ἡ Εὐχὴ τοῦ Τρίτου Ἀντιφώνου

Ἱερεύς (χαμηλοφώνως)· Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισί, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἱερεύς· **Ὅ**τι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν**.

Τὸ Τρίτον Ἀντίφωνον

Στίχος. **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Ἀπολυτίκιον

Τὸ ἀπολυτίκιον τῆς Κυριακῆς ἢ ἑορτῆς ψάλλεται *(σελ. 120).*

commend ourselves and one another and our whole life to Christ our God.

People: **To you, O Lord.**

Prayer of the Third Antiphon

> *Priest (in a low voice):* You who have given us these prayers to offer together and in harmony, and have promised to grant the requests of even two or three who join together in your name, fulfil now the petitions of your servants for their benefit, granting us the knowledge of your truth in the present age, and in the age to come eternal life.

Priest: **F**or you are a good and loving God, and to you we offer glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Third Antiphon

Verse. **T**his is the day of the Lord, let us rejoice and be glad in it.

Dismissal Hymn

The dismissal hymn of the Sunday or feast is sung *(page 121).*

Ἡ Μικρὰ Εἴσοδος

Ἡ Εὐχὴ τῆς Εἰσόδου

Διάκονος (χαμηλοφώνως)· Τοῦ Κυρίου δεηθῶμεν.

Ἱερεύς· Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Ἱερεύς· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διάκονος· Σοφία· ὀρθοί.

Λαός· **Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Small Entrance

Prayer of the Entrance

Deacon (in a low voice): Let us pray to the Lord.

Priest: Master, Lord our God, who have established in heaven orders and armies of Angels and Archangels for the service of your glory, let there be with our entrance an entry of holy Angels, serving with us and joining us in glorifying your goodness. For to you belong all glory, honour and worship, Father, Son and Holy Spirit, now and ever and to the ages of ages. Amen.

Deacon: Bless, master, the holy entrance.

Priest: Blessed is the entrance of your saints, always, now and ever and to the ages of ages. Amen.

Deacon: **W**isdom. Attend.

People: **Come let us worship and fall down before Christ.**

Save us, Son of God, who rose from the dead; we sing to you, Alleluia.

Ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τῆς Ἀποδόσεως τῆς ἑορτῆς·
Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,...

Τὰ Ἀπολυτίκια

Ἐὰν ὑπάρχῃ Μνημόσυνον, τὸ τῶν Κεκοιμημένων Κοντάκιον·
Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τοῦ δούλου/τῆς δούλης/τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτε/ἥμαρτον συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Κοντάκιον τῆς Ἐκκλησιαστικῆς Περιόδου

Ἡ Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου

Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Ἱερεύς (χαμηλοφώνως)· Ὁ Θεὸς ὁ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβεὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετά-

From the Sunday of Pascha to the Return of the feast:
In the congregations bless God, the Lord from the springs of Israel. Save us, Son of God,…

Dismissal Hymns

If there is a Memorial, the Kontakion of the Departed:
Remember, Lord, your servant/s in your goodness, and all sins committed in his/her/their life forgive; for no one is without sin, except you who are able to grant rest to the departed.

Kontakion of the Current Feast

Prayer of the Trisagion Hymn

Deacon: **L**et us pray to the Lord.

People: **Lord, have mercy.**

> *Priest (in a low voice):* Holy God, resting among the holy, who with the thrice-holy hymn are praised by the Seraphim, glorified by the Cherubim and worshipped by every heavenly Power; who brought all things from non-being into being; who created humanity in your image and likeness and adorned them with your every gift; who give wisdom and understanding to those who ask, and do not overlook the sinner, but have established repentance for salvation; who have made us, your lowly and

νοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Ἱερεύς· **Ὅ**τι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ

Διάκονος· **Κ**αὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν**.

Τὸ Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

unworthy servants, worthy to stand at this hour before the glory of your holy altar and offer the worship and praise due to you; accept, Master, the thrice-holy hymn even from the mouth of us sinners, and visit us in your goodness. Forgive us every offence, both voluntary and involuntary, sanctify our souls and bodies, and grant that we may worship you in holiness all the days of our life, through the intercessions of the holy Theotokos and all the Saints who in every age have been pleasing to you.

Priest: **F**or you, our God, are Holy, and to you we offer glory, Father, Son and Holy Spirit, now and ever

Deacon: **A**nd to the ages of ages.

People: **Amen.**

Trisagion Hymn

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

[*Διάκονος·* Δύναμις.]

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἐν ταῖς δεσποτικαῖς ἑορταῖς ἀντὶ τοῦ Ἅγιος ὁ Θεός *ψάλλεται τό·*
Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Ἐν ταῖς ἑορταῖς τῆς Σταυροπροσκυνήσεως καὶ τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ ψάλλεται τό·
Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν.

Διάκονος (χαμηλοφώνως)· Κέλευσον, δέσποτα.

Ἱερεύς· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Glory to the Father and the Son and the Holy Spirit;

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

[*Deacon:* Again with fervour *or:* Dinamis.]

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

On feasts of the Lord, instead of Holy God *the following is sung:*
You who have been baptised into Christ, Christ have you put on. Alleluia.

On the feasts of the Worship of the Cross and the Elevation of the precious Cross the following is sung:
Your Cross we venerate, Master, and your holy resurrection we glorify.

Deacon (in a low voice): Proceed, master.

Priest: Blessed is he who comes in the name of the Lord.

Deacon: Bless, master, the high throne.

Ἱερεύς· Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβείμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγιογραφικὰ Ἀναγνώσματα

Ἀπόστολος

Ὁ ἀναγνώστης ἐκφωνεῖ τὸ προκείμενον.

Διάκονος· **Π**ρόσχωμεν.

Ὁ ἀναγνώστης ἐκφωνεῖ τὸν στίχον.

Διάκονος· **Σ**οφία.

Ἀναγνώστης· **Π**ρὸς...Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα *ἢ* Πράξεων τῶν Ἀποστόλων... *ἢ* Καθολικῆς Ἐπιστολῆς...

Διάκονος· **Π**ρόσχωμεν.

Ὁ ἀναγνώστης ἀναγινώσκει τὸν Ἀπόστολον.

Ἱερεύς· **Ε**ἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Λαός· **Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.**

Διάκονος (χαμηλοφώνως)· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Priest: Blessed are you on the glorious throne of your kingdom, seated upon the Cherubim, always, now and ever and to the ages of ages. Amen.

Scripture Readings

Apostle

The prokimenon is read by the reader.

Deacon: **L**et us attend.

The psalm verse is read by the reader.

Deacon: **W**isdom.

Reader: **T**he reading is from Paul's Letter to…
or …from the Acts of the Apostles
or …from the General Letter of…

Deacon: **L**et us attend.

The appointed passage of the Apostle is read by the reader.

Priest: **P**eace be with you, the reader.

People: **Alleluia. Alleluia. Alleluia.**

Deacon (in a low voice): Bless, master, the incense.

Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ἡ Εὐχὴ τοῦ Ἁγίου Εὐαγγελίου

Ἱερεύς· Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διάκονος· Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (δεῖνος).

Ἱερεύς· Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (δεῖνος),

Priest: Blessed is our God, always, now and ever and to the ages of ages. Amen.

We offer you incense, Christ our God, as a sweet-smelling spiritual fragrance; receive it on your heavenly altar, and send down to us in return the grace of your all-holy Spirit.

Prayer of the Holy Gospel

Priest: Make the pure light of your divine knowledge shine within our hearts, loving Master, and open the eyes of our mind to understand the message of your Gospel. Instil in us also the fear of your blessed commandments, so that having trampled down all desires of the flesh, we may pursue a spiritual way of life, thinking and doing all those things that are pleasing to you. For you are the illumination of our souls and bodies, Christ our God, and to you we offer glory, with your eternal Father and your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages. Amen.

Deacon: Bless, master, the reader of the Gospel of the holy, glorious Apostle and Evangelist (name).

Priest: May God, through the intercessions of the holy, glorious Apostle and Evangelist

δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Διάκονος· Ἀμήν.

Τὸ Ἅγιον Εὐαγγέλιον

Ἱερεύς· **Σ**οφία· ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Λαός· **Καὶ τῷ πνεύματί σου**.

Διάκονος· **Ἐ**κ τοῦ κατὰ (δεῖνα) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ἱερεύς· **Π**ρόσχωμεν.

Λαός· **Δόξα σοι, Κύριε, δόξα σοι**.

Ὁ διάκονος ἀναγινώσκει τὸ Εὐαγγέλιον.

Ἱερεύς· **Ε**ἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Λαός· **Δόξα σοι, Κύριε, δόξα σοι**.

Τὸ Κήρυγμα

Αἱ δεήσεις καὶ εὐχαὶ λέγονται ὑπὸ τοῦ ἱερέως χαμηλοφώνως μέχρι τοῦ Ὅπως ὑπὸ τοῦ κράτους σου *(σελ. 44).*

(name), grant that you may proclaim the Gospel message with great power, for the fulfilment of the Gospel of his beloved Son, our Lord Jesus Christ.

Deacon: Amen.

Holy Gospel

Priest: **W**isdom. Attend. Let us hear the holy Gospel. Peace be with you all.

People: **And with your spirit.**

Deacon: **T**he reading is from the holy Gospel according to…

Priest: **L**et us attend.

People: **Glory to you, Lord, glory to you.**

The appointed passage of the holy Gospel is read by the deacon.

Priest: **P**eace be with you, the Gospel reader.

People: **Glory to you, Lord, glory to you.**

Sermon

The next part of the Liturgy may be said quietly by the priest up to That always protected by your power *(page 45).*

Ἡ Μεγάλη Ἐκτενὴς Ἱκεσία

Διάκονος· **Ε**ἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν·

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Κ**ύριε Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ Ἀρχι-επισκόπου ἡμῶν (δεῖνος).

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγ-χωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ

Litany of Fervent Supplication

Deacon: **L**et us all say with all our soul and with all our mind, let us say:

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **L**ord Almighty, the God of our fathers, we ask you, hear us and have mercy.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **H**ave mercy on us, O God, according to your great mercy, we ask you, hear us and have mercy.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for our Archbishop (name).

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for mercy, life, peace, health, salvation, visitation, pardon and forgiveness of sins for the servants of God, all

Ὀρθοδόξων Χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας ἐκκλησίας ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, **Ὀ**ρθοδόξων.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἡ Εὐχὴ τῆς Ἐκτενοῦς Ἱκεσίας

Ἱερεύς (χαμηλοφώνως)· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἱερεύς· **Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

pious and Orthodox Christians who live in or visit this city, and all those who worship in this holy church.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for the blessed and ever-remembered founders of this holy church, and for all our pious and Orthodox brothers and sisters who have gone to their rest before us, and lie asleep here and in all the world.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Prayer of Fervent Supplication

> *Priest (in a low voice):* Lord our God, accept this fervent supplication from your servants, and have mercy on us according to the abundance of your mercy, and send down your compassion on us and on all your people, who await your rich mercy.

Priest: **F**or you are a merciful and loving God, and to you we offer glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Αἱ Δεήσεις ὑπὲρ τῶν Κατηχουμένων

Διάκονος· **Ε**ὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ο**ἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Διάκονος· **Ἵ**να ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Κ**ατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ἀ**ποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ἑ**νώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Σ**ῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Litany for the Catechumens

Deacon: Catechumens, pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: Let us, the believers, pray for the catechumens.

People: **Lord, have mercy.**

Deacon: That the Lord may have mercy on them.

People: **Lord, have mercy.**

Deacon: That he may instruct them in the word of truth.

People: **Lord, have mercy.**

Deacon: That he may reveal to them the Gospel of righteousness.

People: **Lord, have mercy.**

Deacon: That he may unite them with his holy, catholic and apostolic Church.

People: **Lord, have mercy.**

Deacon: Save them, have mercy on them, help and protect them, O God, by your grace.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Οἱ** κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ἡ Εὐχὴ ὑπὲρ τῶν Κατηχουμένων

Ἱερεύς (χαμηλοφώνως)· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ διὰ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἱερεύς· **Ἵ**να καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

[*Διάκονος·* **Ὅ**σοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων.

People: **Lord, have mercy.**

Deacon: **C**atechumens, bow your heads to the Lord.

Prayer for the Catechumens

Priest (in a low voice): Lord our God, dwelling on high and watching over things below, who for the salvation of the human race sent your only-begotten Son and God, our Lord Jesus Christ; look upon your servants the catechumens, who have bowed their neck to you, and in due time make them worthy of the washing of rebirth, the forgiveness of sins and the garment of incorruption; unite them with your holy, catholic and apostolic Church, and number them among your chosen flock.

Priest: **T**hat they also with us may glorify your all-honoured and majestic name, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

[*Deacon:* **T**hose who are catechumens, go forth. Catechumens, go forth. Those who are catechumens, go forth. None of the catechumens.

Αἱ Δεήσεις τῶν Πιστῶν

Διάκονος· **Ὅ**σοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Σ**οφία.

Ἡ Πρώτη Εὐχὴ τῶν Πιστῶν

Ἱερεύς (χαμηλοφώνως)· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Litany for the Believers

Deacon: **T**hose who are believers, again and again, in peace let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **W**isdom.

First Prayer for the Believers

Priest (in a low voice): We give thanks to you, Lord God of Powers, for making us worthy to stand now at your holy altar and fall down before your compassion on behalf of our sins and the failings of the people. Receive our prayer, O God; make us worthy to offer you prayers and supplications and bloodless sacrifices on behalf of all your people; and by the power of your Holy Spirit enable us, whom you have appointed to this your service, to call upon you without condemnation and without offence, in the pure testimony of our conscience, at all times and in every place, so that you may hear us and be merciful in the abundance of your goodness.

Ἱερεύς· **Ὅ**τι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**]

Αἱ Δεήσεις τῶν Πιστῶν

Διάκονος· **Ἔ**τι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Σ**οφία.

Ἡ Δευτέρα Εὐχὴ τῶν Πιστῶν

Ἱερεύς (χαμηλοφώνως)· Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν

Priest: **F**or to you belong all glory, honour and worship, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**]

Litany for the Believers

Deacon: **A**gain and again, in peace let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **W**isdom.

Second Prayer for the Believers

Priest (in a low voice): Again and often we fall down before you, good and loving one, and ask you to regard our prayer; cleanse our souls and bodies from every defilement of flesh and spirit, and grant that we may stand at your holy altar without guilt or condemnation. Grant also to those who pray with us, O God,

προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε, μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ἱερεύς· **Ὅπως** ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Ὁ ἱερεὺς λέγει χαμηλοφώνως τὴν εὐχήν, ἐν ᾧ ψάλλει ὁ χορὸς τὸ Χερουβικόν (σελ. 54).

Ἡ Εὐχὴ τοῦ Χερουβικοῦ

Ἱερεύς (χαμηλοφώνως)· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ᾽ ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ Ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων.

progress in life and faith and spiritual understanding; grant that they may always worship you with fear and love, and take part in your holy mysteries without guilt or condemnation, and be made worthy of your heavenly kingdom.

Priest: That always protected by your power, we may offer you glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

The following prayers are said while the choir sings the Cherubic Hymn (page 55).

Prayer of the Cherubic Hymn

Priest (in a low voice): No one bound by the desires and pleasures of the flesh is worthy to approach you or draw near to you or minister to you, King of glory; for to serve you is great and fearful even for the heavenly Powers. Yet because of your inexpressible and infinite loving kindness, you became a human being without change or alteration and were appointed our High Priest, and as Master of all have entrusted to us the sacred rite of this liturgical and bloodless sacrifice.

Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ Κύριος καὶ Βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος Ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα.

Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἱερεύς· Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν.

For you alone, Lord our God, rule over things in heaven and on earth, carried upon the throne of the Cherubim, Lord of the Seraphim and King of Israel, the only Holy one, resting among the holy. I implore you, therefore, who alone are good and ready to hear: look upon me your sinful and worthless servant, and cleanse my soul and heart from an evil conscience; and by the power of your Holy Spirit enable me, vested in the grace of priesthood, to stand at this your holy table and perform the sacred rite of your holy and pure Body and precious Blood.

For to you I come, with bowed neck, and I ask you: do not turn your face from me or reject me from among your children, but allow these gifts to be offered to you by me, your sinful and unworthy servant. For you are the one who offers and is offered, who receives and is distributed, Christ our God, and to you we offer glory, with your eternal Father and your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages. Amen.

Priest: Let us who mystically represent the Cherubim, and who sing the thrice-holy hymn to the life-giving Trinity, now lay aside all earthly care,

Διάκονος· Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Εἰ ἔστι Κυριακή, τὸ Ἀνάστασιν Χριστοῦ·

Ἱερεύς· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Deacon: That we may receive the King of all, invisibly attended by the angelic orders. Alleluia.

Bless, master, the incense.

Priest: Blessed is our God, always, now and ever and to the ages of ages. Amen.

We offer you incense, Christ our God, as a sweet-smelling spiritual fragrance; receive it on your heavenly altar, and send down to us in return the grace of your all-holy Spirit.

If it is a Sunday, Having beheld *is said:*

Priest: Having beheld the resurrection of Christ, let us worship the holy Lord Jesus, who alone is without sin. We worship your Cross, O Christ, and we praise and glorify your holy resurrection; for you are our God, we know no other but you, and we call upon your name. Come, all you faithful, let us worship Christ's holy resurrection; for behold, through the Cross joy has come to all the world. Ever blessing the Lord, we praise his resurrection; for by enduring the Cross for us, he destroyed death by death.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ὁ Ν΄ Ψαλμός

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Come let us worship and fall down before God our King.
Come let us worship and fall down before Christ our God and King.
Come let us worship and fall down before him, Christ our God and King.

Psalm 50

Have mercy on me, O God, according to your great mercy, and according to the abundance of your compassion wipe out my transgression.
Wash me thoroughly from my iniquity, and cleanse me from my sin.
For I know my iniquity, and my sin is ever before me.
Against you only have I sinned, and done evil before you, that you might be justified in your words, and prevail when you are judged.
For behold I was conceived in iniquities, and in sins did my mother bear me.
For behold you have loved truth, the hidden and secret things of your wisdom have you made manifest to me.
You will sprinkle me with hyssop, and I will be made clean; you will wash me, and I will be made whiter than snow.
You will cause me to hear joy and gladness; the bones that are humbled will rejoice.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με. *(γ´)*

Διάκονος· Ἔπαρον, δέσποτα.

Ἱερεύς· Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Turn your face away from my sins, and blot out all my iniquities.
Create a pure heart in me, O God, and renew an upright spirit within me.
Cast me not from your presence, and take not your Holy Spirit from me.
Restore to me the joy of your salvation, and with a guiding spirit strengthen me.
I will teach transgressors your ways, and the ungodly will return to you.
Deliver me from blood-guiltiness, O God, the God of my salvation; my tongue will rejoice in your righteousness.
Lord, you will open my lips, and my mouth will declare your praise.
For if you had desired sacrifice I would have given it; with whole burnt offerings you will not be pleased.
A sacrifice to God is a broken spirit, a heart that is broken and humbled God will not despise.

O God be merciful to me a sinner, and have mercy on me. *(3 times)*

Deacon: Lift up, master.

Priest: Lift up your hands to the holy things and bless the Lord.

Τὸ Χερουβικόν

Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι·

Ἡ Μεγάλη Εἴσοδος

Διάκονος· **Π**άντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.

Διάκονος (χαμηλοφώνως)· Τῆς ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἱερεύς· Τῆς διακονίας σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Διάκονος· Ἀγάθυνον, δέσποτα.

Cherubic Hymn

Let us who mystically represent the Cherubim, and who sing the thrice-holy hymn to the life-giving Trinity, now lay aside all earthly care, that we may receive the King of all;

Great Entrance

Deacon: **M**ay the Lord God remember all of you in his kingdom, always, now and ever and to the ages of ages.

People: **Amen.**

Invisibly attended by the angelic orders. Alleluia.

> *Deacon (in a low voice):* May the Lord God remember your priesthood in his kingdom, always, now and ever and to the ages of ages.
>
> *Priest:* May the Lord God remember your diaconate in his kingdom, always, now and ever and to the ages of ages.
>
> *Deacon:* Do good, master.

Τέλος τοῦ Ν´ Ψαλμοῦ

Ἱερεύς· Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἱερεύς· Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Διάκονος· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

Ἱερεύς· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Διάκονος· Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.
Μνήσθητί μου, δέσποτα ἅγιε.

Ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Διάκονος· Ἀμήν.

Conclusion of Psalm 50

Priest: Do good to Sion in your good pleasure, Lord, and let the walls of Jerusalem be built.
Then will you be pleased with a sacrifice of righteousness, with oblation and whole burnt offerings.
Then will they offer calves upon your altar.

Priest: Remember me, brother and fellow celebrant.

Deacon: May the Lord God remember your priesthood in his kingdom, always, now and ever and to the ages of ages.
Pray for me, holy master.

Priest: The Holy Spirit will come upon you, and the power of the Most High will overshadow you.

Deacon: This Spirit will serve with us all the days of our life.
Remember me, holy master.

Priest: May the Lord God remember you in his kingdom, always, now and ever and to the ages of ages.

Deacon: Amen.

Τὰ Πληρωτικά

Διάκονος· **Π**ληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ὑ**πὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ὑ**πὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ὑ**πὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Τ**ὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Litany

Deacon: **L**et us complete our prayer to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or the precious gifts presented, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or this holy house and those who enter it with faith, reverence and fear of God, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or our deliverance from all affliction, anger, danger and distress, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **T**hat this whole day may be perfect, holy, peaceful and sinless, let us ask of the Lord.

Λαός· **Παράσχου, Κύριε.**

Διάκονος· **Ἄ**γγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Λαός· **Παράσχου, Κύριε.**

Διάκονος· **Σ**υγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Λαός· **Παράσχου, Κύριε.**

Διάκονος· **Τ**ὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Λαός· **Παράσχου, Κύριε.**

Διάκονος· **Τ**ὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Λαός· **Παράσχου, Κύριε.**

Διάκονος· **Χ**ριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Λαός· **Παράσχου, Κύριε.**

People: **Grant this, O Lord.**

Deacon: **F**or an Angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask of the Lord.

People: **Grant this, O Lord.**

Deacon: **F**or pardon and forgiveness of our sins and offences, let us ask of the Lord.

People: **Grant this, O Lord.**

Deacon: **F**or that which is good and beneficial to our souls, and for peace in the world, let us ask of the Lord.

People: **Grant this, O Lord.**

Deacon: **T**hat we may complete the remainder of our life in peace and repentance, let us ask of the Lord.

People: **Grant this, O Lord.**

Deacon: **T**hat the end of our life may be Christian, painless, unashamed and peaceful, and for a good defence at the fearful judgement seat of Christ, let us ask of the Lord.

People: **Grant this, O Lord.**

Διάκονος· **Τ**ῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λαός· **Σοί, Κύριε.**

Ἡ Εὐχὴ τῆς Προσκομιδῆς

Ἱερεύς (χαμηλοφώνως)· Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος Ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ἱερεύς· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Deacon: **C**ommemorating our all-holy, pure, most blessed, glorious Lady Theotokos and ever-virgin Mary with all the Saints, let us commend ourselves and one another and our whole life to Christ our God.

People: **To you, O Lord.**

Prayer of Presentation

Priest (in a low voice): Lord God Almighty, who alone are Holy, and accept a sacrifice of praise from those who call upon you with all their heart, receive also the prayer of us sinners and bring it to your holy altar; and enable us to offer you gifts and spiritual sacrifices on behalf of our sins and the failings of the people. And make us worthy to find favour before you, so that our sacrifice may be acceptable to you, and the good Spirit of your grace may dwell on us, and on these gifts presented, and on all your people.

Priest: **T**hrough the compassion of your only-begotten Son, with whom you are blessed, together with your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Ἱερεύς· Εἰρήνη πᾶσι.

Λαός· **Καὶ τῷ πνεύματί σου.**

Διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν·

Λαός· **Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.**

Ἱερεύς (χαμηλοφώνως)· Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.

Ἐὰν ὑπάρχωσι πλείονες λειτουργοί·
Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν·
Καὶ ἦν καὶ ἔστι καὶ ἔσται.

Διάκονος· Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Priest: **P**eace be with you all.

People: **And with your spirit.**

Deacon: **L**et us love one another, that with one mind we may confess:

People: **Father, Son and Holy Spirit, Trinity of one essence and inseparable.**

Priest (in a low voice): I will love you, Lord my strength; the Lord is my foundation and my refuge and my deliverer.

If there are concelebrants:
Christ is in our midst.
He was and is and will be.

Deacon: **T**he doors, the doors; in wisdom let us attend.

Τὸ Σύμβολον τῆς Πίστεως

**Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα
Παντοκράτορα,
ποιητὴν οὐρανοῦ καὶ γῆς,
ὁρατῶν τε πάντων καὶ ἀοράτων.**

**Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν,
τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ,
τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων
τῶν αἰώνων·
φῶς ἐκ φωτός,
Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ,
γεννηθέντα οὐ ποιηθέντα,
ὁμοούσιον τῷ Πατρί,
δι᾽ οὗ τὰ πάντα ἐγένετο.**

**Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους
καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν
κατελθόντα ἐκ τῶν οὐρανῶν
καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου
καὶ Μαρίας τῆς Παρθένου
καὶ ἐνανθρωπήσαντα.
Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου
Πιλάτου,
καὶ παθόντα καὶ ταφέντα.
Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς
Γραφάς.
Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς,
καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.**

The Symbol of Faith

**I believe in one God, Father Almighty,
maker of heaven and earth,
and of all things visible and invisible.**

**And in one Lord Jesus Christ,
the only-begotten Son of God,
begotten of the Father before all ages,
light from light,
true God from true God,
begotten not made,
of one essence with the Father;
through him all things were made.**

**Who for us and for our salvation
came down from heaven,
and was incarnate of the Holy Spirit
and the Virgin Mary,
and became human,
and was crucified for us under Pontius
Pilate,
and suffered and was buried,
and rose on the third day according to the
Scriptures,
and ascended into heaven,
and is seated at the right hand of the
Father,**

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης
κρῖναι ζῶντας καὶ νεκρούς,
οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον,
τὸ Κύριον, τὸ ζωοποιόν,
τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον,
τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον
καὶ συνδοξαζόμενον,
τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ
ἀποστολικὴν Ἐκκλησίαν.
Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.
Προσδοκῶ ἀνάστασιν νεκρῶν.
Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ἡ Ἁγία Ἀναφορά

Διάκονος· Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν, τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Λαός· **Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.**

Ἱερεύς· **Ἡ** χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Λαός· **Καὶ μετὰ τοῦ πνεύματός σου.**

and will come again in glory
to judge the living and the dead,
and his kingdom will have no end.

And in the Holy Spirit,
the Lord, the giver of life,
who proceeds from the Father,
who together with the Father and the Son
is worshipped and glorified,
and who spoke through the Prophets.

In one holy, catholic and apostolic Church.
I acknowledge one baptism for the
forgiveness of sins.
I expect the resurrection of the dead,
and the life of the age to come. Amen.

The Holy Anaphora

Deacon: **L**et us stand well; let us stand with fear; let us attend, that we may make the holy offering in peace.

People: **A mercy of peace, a sacrifice of praise.**

Priest: **T**he grace of our Lord Jesus Christ, and the love of God the Father, and the communion of the Holy Spirit, be with you all.

People: **And with your spirit.**

Ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας.

Λαός· **Ἔχομεν πρὸς τὸν Κύριον.**

Ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Λαός· **Ἄξιον καὶ δίκαιον.**

Ἱερεύς (χαμηλοφώνως)· Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν.

Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων.

Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβεὶμ καὶ τὰ Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Priest: Let us lift up our hearts.

People: **We lift them up to the Lord.**

Priest: Let us give thanks to the Lord.

People: **It is proper and right.**

Priest (in a low voice): It is proper and right to sing to you, to bless you, to praise you, to give thanks to you, to worship you in every place of your dominion. For you are God inexpressible, inconceivable, invisible, incomprehensible, ever existing, ever the same; you and your only-begotten Son and your Holy Spirit. You brought us from non-being into being, and when we fell you raised us up again, and left nothing undone until you brought us up to heaven and bestowed on us your kingdom to come.

For all these things we give thanks to you and your only-begotten Son and your Holy Spirit, and for all the benefits known and unknown, seen and unseen, that have been granted to us.

We give thanks to you also for this liturgy which you are pleased to accept from our hands, though thousands of Archangels and myriads of Angels attend you, the Cherubim and the Seraphim, six-winged, many-eyed, soaring aloft on their wings,

Ἱερεύς· **Τὸν** ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

Λαός· **Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.**

Ἱερεύς (χαμηλοφώνως)· Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών·

Ἱερεύς· **Λάβετε**, φάγετε, τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Λαός· **Ἀμήν.**

Priest: **S**inging the victory hymn, exclaiming, crying out and saying:

People: **Holy, Holy, Holy, Lord of Sabaoth, heaven and earth are full of your glory. Hosanna in the highest. Blessed is he who comes in the name of the Lord. Hosanna to you in the highest.**

> *Priest (in a low voice):* With these blessed Powers, loving Master, we also cry out and say: Holy are you and all-holy, you and your only-begotten Son and your Holy Spirit. Holy are you and all-holy, and majestic is your glory. You so loved your world, that you gave your only-begotten Son, so that everyone who believes in him might not perish, but have eternal life. He came and fulfilled all the divine plan for us, and on the night he was given up, or rather gave himself up, for the life of the world, he took bread in his holy, pure and blameless hands, gave thanks and blessed, sanctified, broke and gave it to his holy Disciples and Apostles, saying:

Priest: **T**ake, eat, this is my Body, which is broken for you, for the forgiveness of sins.

People: **Amen.**

Ἱερεύς (χαμηλοφώνως)· Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Ἱερεύς· **Πίετε** ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Λαός· **Ἀμήν.**

Ἱερεύς (χαμηλοφώνως)· Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

Ἱερεύς· **Τὰ** σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα καὶ διὰ πάντα.

Λαός· **Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.**

Ἱερεύς (χαμηλοφώνως)· Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Διάκονος· Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Priest (in a low voice): Likewise after supper he took the cup, saying:

Priest: **D**rink from it all of you, this is my Blood of the new covenant, which is poured out for you and for many, for the forgiveness of sins.

People: **Amen.**

Priest (in a low voice): Remembering, then, this commandment of the Saviour and all that has been done for us, the cross, the tomb, the resurrection on the third day, the ascent into heaven, the sitting at the right hand, the second and glorious coming again,

Priest: **Y**our own from your own we offer you, in every way and for everything.

People: **We praise you, we bless you, we give thanks to you, Lord, and we entreat you, our God.**

Priest (in a low voice): Again, we offer you this spiritual and bloodless act of worship, and we ask you and entreat you and implore you: send down your Holy Spirit upon us and upon these gifts presented.

Deacon: Bless, master, the holy bread.

Ἱερεύς· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Διάκονος· Ἀμήν.
Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ἱερεύς· Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Διάκονος· Ἀμήν.
Εὐλόγησον, δέσποτα, ἀμφότερα τὰ ἅγια.

Ἱερεύς· Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Διάκονος· Ἀμήν. Ἀμήν. Ἀμήν.

Ἱερεύς· Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Ἱερεύς· **Ἐ**ξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Priest: And make this bread the precious Body of your Christ.

Deacon: Amen.
Bless, master, the holy cup.

Priest: And what is in this cup the precious Blood of your Christ.

Deacon: Amen.
Bless, master, both the holy things.

Priest: Changing them by your Holy Spirit.

Deacon: Amen. Amen. Amen.

Priest: So that to those who partake of them, they may be for vigilance of soul, for the forgiveness of sins, for communion with your Holy Spirit, for the fullness of the kingdom of heaven, for boldness before you, not for judgement or condemnation.

Again, we offer you this spiritual act of worship for those who have gone to their rest in faith, Forefathers, Fathers, Patriarchs, Prophets, Apostles, Preachers, Evangelists, Martyrs, Confessors, Ascetics and every righteous spirit perfected in faith.

Priest: **E**specially for our all-holy, pure, most blessed, glorious Lady Theotokos and ever-virgin Mary.

Λαός· **Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Ἐν τῇ θείᾳ Λειτουργίᾳ τοῦ Μεγάλου Βασιλείου ἀντὶ τοῦ Ἄξιόν ἐστιν *ψάλλεται τὸ* Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη *(σελ. 138).*

Ἱερεύς (χαμηλοφώνως)· Τοῦ ἁγίου Ἰωάννου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου (δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· (...) καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας

People: **Truly it is right to call you blessed, Theotokos, ever-blessed and all-pure and the Mother of our God. More honourable than the Cherubim, incomparably more glorious than the Seraphim, who undefiled gave birth to God the Word, true Theotokos, we magnify you.**

In the Liturgy of St Basil, instead of Truly it is right *is sung* In you, O favoured one *(page 139).*

Priest (in a low voice): For Saint John the Prophet, Forerunner and Baptist, for the holy, glorious and praiseworthy Apostles, for Saint (name), whose memory we keep today, and for all your Saints, through whose supplications visit us, O God.

And remember all those who have fallen asleep in the hope of resurrection to eternal life, (names) and give them rest where the light of your countenance keeps watch.

Again, we ask you, Lord: remember all Orthodox bishops rightly teaching the word of your truth, all the priesthood, the diaconate in Christ, and every priestly and monastic order.

Again, we offer you this spiritual act of worship for the whole world, for the holy, catholic

καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἱερεύς· **Ἐ**ν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Διάκονος· **Κ**αὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Λαός· **Καὶ πάντων καὶ πασῶν**.

Ἱερεύς (χαμηλοφώνως)· Μνήσθητι, Κύριε, τῆς πόλεως ταύτης, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

and apostolic Church, for those who lead a pure and holy way of life, for our civil authorities and all those in public service. Grant that they may serve and govern in peace, Lord, so that in a time of tranquillity we too may lead a peaceful and quiet life in all piety and holiness.

Priest: **A**mong the first remember, Lord, our Archbishop (name); grant to your holy Churches that he remain in peace, safety, honour, health and length of days, rightly teaching the word of your truth.

Deacon: **A**nd those whom each of us has in mind, and all men and all women.

People: **And all men and all women.**

Priest (in a low voice): Remember, Lord, this city in which we live, and every city and country, and the faithful who live in them. Remember, Lord, those who are travelling by land, sea or air, the sick, the suffering, the captives, and the safety of them all. Remember, Lord, those who bear fruit and nurture the soil in your holy Churches and who remember the poor; and send your mercies upon us all.

Ἱερεύς· **Κ**αὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Ἱερεύς· **Κ**αὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Λαός· **Καὶ μετὰ τοῦ πνεύματός σου.**

Αἱ Δεήσεις

Διάκονος· **Π**άντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ὑ**πὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ὅ**πως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Priest: **A**nd grant that with one mouth and one heart we may glorify and praise your all-honoured and majestic name, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Priest: **A**nd the mercies of our great God and Saviour Jesus Christ will be with you all.

People: **And with your spirit.**

Litany

Deacon: **H**aving commemorated all the saints, again and again, in peace let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **F**or the precious gifts presented and sanctified, let us pray to the Lord.

People: **Lord, have mercy.**

Deacon: **T**hat our loving God, who has received them on his holy, heavenly and spiritual altar, as a sweet-smelling spiritual fragrance, may send down to us in return divine grace, and the gift of the Holy Spirit, let us pray to the Lord.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Τ**ὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λαός· **Σοί, Κύριε.**

Ἱερεύς (χαμηλοφώνως)· Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἱερεύς· **Κ**αὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·

People: **Lord, have mercy.**

Deacon: **H**aving asked for the unity of the faith and the communion of the Holy Spirit, let us commend ourselves and one another and our whole life to Christ our God.

People: **To you, O Lord.**

> *Priest (in a low voice):* To you we entrust our whole life and hope, loving Master, and we ask you and entreat you and implore you: make us worthy to partake of your heavenly and awesome mysteries at this holy and spiritual table with a pure conscience, for the forgiveness of sins, for pardon of offences, for communion with the Holy Spirit, for inheritance of the kingdom of heaven, for boldness before you, not for judgement or condemnation.

Priest: **A**nd make us worthy, Master, that we may with boldness and without condemnation dare to call upon you, the heavenly God, as Father, and say:

Ἡ Κυριακὴ Προσευχή

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.
Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς· **Ὅ**τι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Κεφαλοκλισία

Ἱερεύς· **Ε**ἰρήνη πᾶσι.

Λαός· **Καὶ τῷ πνεύματί σου.**

Διάκονος· **Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Λαός· **Σοί, Κύριε.**

The Lord's Prayer

Our Father in heaven,
hallowed be your name,
your kingdom come,
your will be done on earth as it is in heaven.
Give us today our daily bread,
and forgive us our sins,
as we forgive those who sin against us.
And lead us not into temptation,
but deliver us from evil.

Priest: **F**or yours is the kingdom and the power and the glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Bowing of Heads

Priest: **P**eace be with you all.

People: **And with your spirit.**

Deacon: **L**et us bow our heads to the Lord.

People: **To you, O Lord.**

Ἱερεύς (χαμηλοφώνως)· Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἱερεύς· **Χ**άριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **᾿Αμήν.**

Ἱερεύς (χαμηλοφώνως)· Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου Αἵματος καὶ δι᾽ ἡμῶν παντὶ τῷ λαῷ.

Priest (in a low voice): We give thanks to you, invisible King, who in your infinite power created all things and in the abundance of your mercy brought all things from non-being into being. Look from heaven, Master, upon those who have bowed their heads to you; for they have not bowed to flesh and blood, but to you the awesome God. Therefore, Master, smooth the way that is set before us, according to the need of each: sail with those who sail, travel with those who are travelling, heal the sick, physician of our souls and bodies.

Priest: **Through the grace and compassion and loving kindness of your only-begotten Son, with whom you are blessed, together with your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages.**

People: **Amen.**

Priest (in a low voice): Hear us, Lord Jesus Christ our God, from your holy dwelling and from the throne of glory of your kingdom, and come to sanctify us, you who sit above with the Father and are here present with us unseen; and by your mighty hand be pleased to share your pure Body and precious Blood with us, and through us, with all the people.

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.
Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.
Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Διάκονος· **Πρόσχωμεν.**

Ἱερεύς· **Τὰ ἅγια τοῖς ἁγίοις.**

Λαός· **Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.**

Τὸ Κοινωνικόν

Τῇ Κυριακῇ
Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Ἀλληλούϊα.

Τῷ Σαββάτῳ
Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.

Διάκονος (χαμηλοφώνως)· Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Ἱερεύς· Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

O God, be merciful to me a sinner, and have mercy on me.
O God, be merciful to me a sinner, and have mercy on me.
O God, be merciful to me a sinner, and have mercy on me.

Deacon: Let us attend.

Priest: The holy gifts for the holy ones.

People: **One is Holy, one is Lord, Jesus Christ, to the glory of God the Father. Amen.**

Communion Hymn

On Sunday
Praise the Lord from the heavens, praise him in the highest. Alleluia.

On Saturday
Blessed are those whom you have chosen and taken to yourself, Lord; their memory is to generation after generation. Alleluia.

Deacon (in a low voice): Break, master, the holy bread.

Priest: The lamb of God is broken and distributed, broken yet not divided, ever eaten yet never expended, but sanctifying those who partake.

Διάκονος· Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ἱερεύς· Πλήρωμα Πνεύματος Ἁγίου.

Διάκονος· Ἀμήν.
Εὐλόγησον, δέσποτα, τὸ ζέον.

Ἱερεύς· Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ζέσις Πνεύματος Ἁγίου.

Διάκονος· Ἀμήν.

Αἱ Εὐχαὶ τῆς Θείας Μεταλήψεως

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἰδοὺ βαδίζω πρὸς θείαν Κοινωνίαν·
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον·
Ἀλλ᾽ οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Deacon: Fill, master, the holy cup.

Priest: The fullness of the Holy Spirit.

Deacon: Amen.
Bless, master, the hot water.

Priest: Blessed is the heat of your holy things, always, now and ever and to the ages of ages. Amen.

The heat of the Holy Spirit.

Deacon: Amen.

Prayers before Holy Communion

I believe, Lord, and I confess that you are truly the Christ, the Son of the living God, who came into the world to save sinners, of whom I am the first. I also believe that this is indeed your pure Body, and this is indeed your precious Blood. I ask you, therefore, have mercy on me and forgive me my transgressions, voluntary and involuntary, in word and deed, in knowledge and in ignorance; and make me worthy, uncondemned, to partake of your pure mysteries, for the forgiveness of sins and eternal life. Amen.

Behold, I approach for holy Communion;
Maker, burn me not as I partake;
For you are fire burning the unworthy;
But cleanse me from every impurity.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Ληστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Θεουργὸν Αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ Σῶμα καὶ θεοῖ με καὶ τρέφει·
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Ἔθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων· καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Of your mystical Supper, Son of God, receive me today as a partaker; for I will not speak of the mystery to your enemies; I will not kiss you as did Judas; but as the Thief do I confess you: Remember me, Lord, in your kingdom.

Tremble, mortal, as you behold the deifying Blood;
For it is a burning coal consuming the unworthy.
The Body of God both deifies and nourishes me;
It deifies the spirit and wondrously nourishes the mind.

You have smitten me with yearning, Christ, and by your divine love you have changed me; but consume my sins with immaterial fire, and make me worthy to be filled with delight in you, that leaping for joy, Gracious One, I may magnify your first and second comings.

Into the splendour of your Saints how shall I, the unworthy one, enter? For if I dare to enter the bridal chamber, my clothing betrays me, for it is not a wedding garment, and I shall be bound and cast out by the Angels. Cleanse the defilement of my soul, Lord, and save me in your loving kindness.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀρραβῶνα μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ,...

Ἡ Θεία Κοινωνία

Ἱερεύς (χαμηλοφώνως)· Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Μεταδίδοταί μοι (δεῖνι) τῷ ἀναξίῳ πρεσβυτέρῳ τὸ τίμιον καὶ πανάγιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Διάκονε, πρόσελθε.

Διάκονος· Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.
Μετάδος μοι, δέσποτα.

Ἱερεύς· Μεταδίδοταί σοι (δεῖνι) τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Loving Master, Lord Jesus Christ my God, let not these holy gifts be to me for judgement through my unworthiness, but for the purification and sanctification of both soul and body, and as a pledge of the life and kingdom to come. For it is good for me to cling to God, and to place in the Lord the hope of my salvation.

Of your mystical Supper, Son of God,…

Holy Communion

Priest (in a low voice): Behold I approach Christ our immortal King and God.

The precious and all-holy Body of our Lord and God and Saviour Jesus Christ is given to me (name) an unworthy priest, for the forgiveness of my sins and eternal life.

Deacon, approach.

Deacon: Behold I approach Christ our immortal King and God.
Give me a portion, master.

Priest: The precious and all-holy Body of our Lord and God and Saviour Jesus Christ is given to you reverent deacon (name), for the forgiveness of your sins and eternal life.

Ἔτι μεταδίδοταί μοι (δεῖνι) τῷ ἀναξίῳ πρεσβυτέρῳ τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Τοῦτο ἥψατο τῶν χειλέων μου καὶ ἀφελεῖ τὰς ἀνομίας μου καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

Διάκονε, ἔτι πρόσελθε.

Διάκονος· Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.
Μετάδος μοι, δέσποτα.

Ἱερεύς· Ἔτι μεταδίδοταί σοι (δεῖνι) τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Τοῦτο ἥψατο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Διάκονος· **Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.**

Again, the precious and all-holy and life-giving Blood of our Lord and God and Saviour Jesus Christ is given to me (name) an unworthy priest, for the forgiveness of my sins and eternal life.

This has touched my lips and will take away my iniquities and cleanse my sins.

Deacon, again approach.

Deacon: Behold I approach Christ our immortal King and God.
Give me a portion, master.

Priest: Again, the precious and all-holy and life-giving Blood of our Lord and God and Saviour Jesus Christ is given to you reverent deacon (name), for the forgiveness of your sins and eternal life.

This has touched your lips and will take away your iniquities and cleanse your sins.

Deacon: **W**ith fear of God, with faith and love, draw near.

Ὁ ἱερεὺς ἢ ὁ διάκονος κοινωνεῖ τὸν λαόν, λέγων·

Μεταδίδοταί σοι (δεῖνι) Σῶμα καὶ Αἷμα Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Ὁ χορὸς ψάλλει τὸ κάτωθι τροπάριον ἢ ψαλμούς·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Ληστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Ἱερεύς· **Σ**ῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Λαός· **Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.**

Διάκονος (χαμηλοφώνως)· Ὕψωσον, δέσποτα.

Ἱερεύς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

The priest or deacon gives Communion, saying to each:

The Body and Blood of Christ is given to (name), for the forgiveness of sins and eternal life.

The following or a psalm may be sung:

Of your mystical Supper, Son of God, receive me today as a partaker; for I will not speak of the mystery to your enemies; I will not kiss you as did Judas; but as the Thief do I confess you: Remember me, Lord, in your kingdom.

The Body of Christ come take, of the fount of immortality come taste.

Priest: **S**ave, O God, your people and bless your inheritance.

People: **We have seen the true light, we have received the heavenly Spirit, we have found the true faith, worshipping the undivided Trinity, which has saved us.**

Deacon (in a low voice): Exalt, master.

Priest: Be exalted above the heavens, O God, and your glory above all the earth.
Blessed is our God,

Ἱερεύς· **Πάντοτε,** νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

Εὐχαριστία

Διάκονος· **Ὀ**ρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξί-ως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ δια-φύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λαός· **Κύριε, ἐλέησον.**

Διάκονος· **Τ**ὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυ-τοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λαός· **Σοί, Κύριε.**

Priest: **A**lways, now and ever and to the ages of ages.

People: **Amen.**

Let our mouth be filled with praise, Lord, that we may sing of your glory, for you have made us worthy to partake of your holy mysteries. Keep us in your holiness, as all the day we meditate upon your righteousness. Alleluia. Alleluia. Alleluia.

Thanksgiving

Deacon: **A**ttend. Having partaken of the divine, holy, pure, immortal, heavenly and life-giving awesome mysteries of Christ, let us give proper thanks to the Lord.

People: **Lord, have mercy.**

Deacon: **H**elp us, save us, have mercy on us and protect us, O God, by your grace.

People: **Lord, have mercy.**

Deacon: **H**aving asked that this whole day may be perfect, holy, peaceful and sinless, let us commend ourselves and one another and our whole life to Christ our God.

People: **To you, O Lord.**

Ἱερεύς (χαμηλοφώνως)· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν Ἁγίων σου.

Ἱερεύς· **Ὅ**τι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Ἱερεύς· **Ἐ**ν εἰρήνῃ προέλθωμεν.

Λαός· **Ἐν ὀνόματι Κυρίου.**

Ἡ Ὀπισθάμβωνος Εὐχή

Διάκονος· **Τ**οῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Priest (in a low voice): We give thanks to you, loving Master, benefactor of our souls, that also on this day you have made us worthy of your heavenly and immortal mysteries. Make straight our way; keep us all firm in the fear of you; guard our life; make safe our steps; through the prayers and supplications of the glorious Theotokos and ever-virgin Mary and all your Saints.

Priest: **F**or you are our sanctification, and to you we offer glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Priest: **L**et us go forth in peace.

People: **In the name of the Lord.**

Prayer behind the Ambo

Deacon: **L**et us pray to the Lord.

People: **Lord, have mercy.**

Ἱερεύς· **Ὁ** εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Priest: **O** Lord, who bless those who bless you, and sanctify those who put their trust in you, save your people and bless your inheritance; protect the whole body of your Church; sanctify those who love the beauty of your house; glorify them in return by your divine power, and do not forsake us who hope in you. Grant peace to your world, to your Churches, to the priests, to those in authority, and to all your people. For every good act of giving and every perfect gift is from above, coming down from you, the Father of lights, and to you we offer glory and thanks and worship, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Blessed be the name of the Lord, from now and for evermore.

Blessed be the name of the Lord, from now and for evermore.

Blessed be the name of the Lord, from now and for evermore.

Ἱερεύς (χαμηλοφώνως)· Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν Προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Μνημόσυνον, ἐὰν ὑπάρχῃ (σελ. 176)]

Ἡ Ἀπόλυσις

Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον.**

Ἱερεύς· Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Ἱερεύς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Λαός· **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·**

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Πάτερ ἅγιε, εὐλόγησον.

Priest (in a low voice): Being yourself the fulfilment of the law and the Prophets, Christ our God, and having fulfilled all the divine plan of the Father, fill our hearts with joy and gladness, always, now and ever and to the ages of ages. Amen.

[Memorial Service, if any (page 177)]

Dismissal

Deacon: **L**et us pray to the Lord.

People: **Lord, have mercy.**

Priest: **M**ay the blessing and mercy of the Lord come upon you, through his grace and loving kindness, always, now and ever and to the ages of ages.

People: **Amen.**

Priest: **G**lory to you, our God, glory to you.

People: **Glory to the Father and the Son and the Holy Spirit;**

Both now and ever and to the ages of ages. Amen.

Lord, have mercy. Lord, have mercy. Lord, have mercy. Holy father, bless.

Ἱερεύς· **[Ὁ** ἀναστὰς ἐκ νεκρῶν**] Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· τοῦ Ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

[*Λαός·* **Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε φύλαττε εἰς πολλὰ ἔτη.**]

Ἱερεύς· Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Λαός· **Ἀμήν.**

Priest: **M**ay Christ our true God, |who rose from the dead,| through the intercessions of his all-pure and blameless holy Mother; through the power of the precious and life-giving Cross; through the protection of the honoured bodiless Powers of heaven; through the supplications of the honoured, glorious Prophet and Forerunner John the Baptist; of the holy, glorious and praiseworthy Apostles; of the holy, glorious and triumphant Martyrs; of our holy and God-bearing Fathers and Mothers; of our father among the Saints John Chrysostom archbishop of Constantinople; of Saint (of the church); of the holy and righteous Ancestors of God Joachim and Anna; of Saint (name), whose memory we keep today, and of all the Saints, have mercy on us and save us, as a good and loving God.

[*People:* **The one who blesses us and sanctifies us, Lord keep for many years.**]

Priest: **T**hrough the prayers of our holy Fathers, Lord Jesus Christ our God, have mercy on us and save us.

People: **Amen.**

Εἶτα διανέμει ὁ ἱερεὺς τὸ ἀντίδωρον, λέγων·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς.

Περατώσας τὴν διανομὴν ἐπιλέγει·

Τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

The priest then distributes the antidoron, saying:

May the blessing and mercy of the Lord come upon you.

At the end of the distribution he says:

Through his grace and loving kindness, always, now and ever and to the ages of ages. Amen.

ΤΕΛΟΣ ΤΟΥ ΟΡΘΡΟΥ

Δοξολογία Μεγάλη

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε, Βασιλεῦ ἐπουράνιε, Θεὲ Πάτερ Παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ’ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

CONCLUSION OF ORTHROS
(Morning Service)

The Great Doxology

Glory to you who have shown the light. Glory to God in the highest, and on earth peace, good will to all people.

We praise you, we bless you, we worship you, we glorify you, we give thanks to you for your great glory.

Lord, heavenly King, God the Father Almighty, Lord, the only-begotten Son, Jesus Christ, and Holy Spirit.

Lord God, Lamb of God, Son of the Father, you who take away the sin of the world, have mercy on us, you who take away the sins of the world.

Receive our prayer, you who sit at the right hand of the Father, and have mercy on us.

For you only are Holy, you only are the Lord Jesus Christ, to the glory of God the Father. Amen.

Every day I will bless you and praise your name for ever and for evermore.

Grant, Lord, that we may be kept this day without sin.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. *(γ´)*

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. *(γ´)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Blessed are you, Lord God of our Fathers, and praised and glorified is your name for ever. Amen.

May your mercy be upon us, Lord, just as we have hoped in you.

Blessed are you, Lord, teach me your judgements. *(3 times)*

Lord, you have been our refuge from generation to generation. I said: Lord have mercy on me, heal my soul, for I have sinned against you.

Lord, to you have I fled for refuge; teach me to do your will, for you are my God.

For in you is the source of life; in your light we shall see light.

Extend your mercy to those who know you.


Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. *(3 times)*

Glory to the Father and the Son and the Holy Spirit;

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.



Ἀπολυτίκιον τοῦ Ὄρθρου τῆς Κυριακῆς

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Dismissal Hymn of Sunday Orthros

Today salvation has come to the world. Let us sing to him who rose from the tomb, the author of our life. For destroying death by death, he gave to us the victory, and his great mercy.

ΑΠΟΛΥΤΙΚΙΑ ΑΝΑΣΤΑΣΙΜΑ
Τῶν ὀκτὼ ἤχων

Ἦχος Α´

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι, Ζωοδότα· Δόξα τῇ ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

Ἦχος Β´

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅᾳδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

DISMISSAL HYMNS OF THE RESURRECTION
In The Eight Tones

Tone 1

The stone had been sealed by the Jews,
and soldiers were guarding your pure Body;
but on the third day, Saviour, you arose and gave life to the world.
Wherefore the heavenly Powers cried out to you, Giver of life:
Glory to your resurrection, Christ, glory to your kingdom,
glory to your divine plan, you who alone love humankind.

Tone 2

When you descended to death, O immortal life,
you struck Hades dead by the flash of your Divinity;
when you raised the dead from under the earth,
all the Powers of heaven cried out:
Giver of life, Christ our God, glory to you.

Ἦχος Γ´

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας ᾍδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος Δ´

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος Πλ. τοῦ Α´

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Tone 3

Let the heavens rejoice and the earth be glad,
for the Lord has done a mighty deed with his arm:
by death he has trampled on death,
the first-born of the dead he has become;
from Hades' depths he has delivered us,
and granted to the world his great mercy.

Tone 4

The joyful message of the resurrection
the women Disciples learnt from the Angel,
and casting off the ancestral sentence,
to the Apostles they announced in exultation:
Death has been despoiled and Christ our God has risen,
granting to the world his great mercy.

Tone 5 / Plagal of Tone 1

The Word eternal with the Father and the Spirit,
born of the Virgin for our salvation,
let us believers praise and worship;
for he was pleased to go up on the Cross in his flesh,
to endure death and raise the dead,
by his glorious resurrection.

Ἦχος Πλ. τοῦ Β΄

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα. Ἐσκύλευσας τὸν ᾍδην, μὴ πειρασθεὶς ὑπ᾽ αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε, δόξα σοι.

Ἦχος Βαρύς

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον, ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον, τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος Πλ. τοῦ Δ΄

Ἐξ ὕψους κατῆλθες, ὁ Εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.

Tone 6 / Plagal of Tone 2

Angelic Powers attended at your grave,
and those who were on guard became as dead;
and Mary stood in the tomb, seeking your pure Body.
You have despoiled Death and not been touched by him;
you met the Virgin and gave us life.
O Lord who rose from the dead, glory to you.

Tone 7 / Heavy Tone

You destroyed death by your Cross,
you opened Paradise to the Thief,
the Myrrh-bearers' lament you transformed,
and ordered your Apostles to proclaim,
that you had risen, Christ our God,
granting to the world your great mercy.

Tone 8 / Plagal of Tone 4

From on high you descended, Compassionate One,
you accepted three days in the tomb,
in order to free us from our suffering.
Our life and resurrection, Lord, glory to you.

ΑΠΟΛΥΤΙΚΙΑ ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ ΕΟΡΤΩΝ

8 Σεπτεμβρίου. Τὸ Γενέθλιον τῆς Θεοτόκου

Ἡ γέννησίς σου, Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

14 Σεπτεμβρίου. Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

21 Νοεμβρίου. Ἡ ἐν τῷ ναῷ Εἴσοδος τῆς Θεοτόκου

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

DISMISSAL HYMNS
OF THE TWELVE MAJOR FEASTS

8th September. The Nativity of the Theotokos

Your birth, Theotokos, has proclaimed joy to all the world;
for from you has dawned the Sun of righteousness, Christ our God;
he lifted the curse and gave us the blessing;
he destroyed death and bestowed on us eternal life.

14 September. The Universal Elevation of the precious and life-giving Cross

Save, O Lord, your people,
and bless your inheritance,
granting victory to our kings over enemies,
and by your Cross protecting your domain.

21 November. The Entry of the Theotokos into the Temple

Today is the prelude of God's good pleasure,
and the heralding of humanity's salvation.
In the temple of God the Virgin is clearly revealed,
and she announces Christ in advance to all.
To her let us cry out with mighty voice:
Hail, O fulfilment of the Creator's plan for us!

25 Δεκεμβρίου. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ

Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο σὲ προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.

6 Ἰανουαρίου. Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας, δόξα σοι.

25 December. The Nativity according to the flesh of our Lord and God and Saviour Jesus Christ

Your birth, Christ our God,
dawned upon the world as the light of knowledge;
for then those who worshipped the stars
were taught by a star
to reverence you the Sun of righteousness,
and to know you are the dawn from on high.
Lord, glory to you.

6 January. The holy Theophany of our Lord Jesus Christ

When in the Jordan you were baptised, O Lord,
the worship of the Trinity was made manifest;
for the voice of the Father bore witness to you,
naming you the beloved Son;
and the Spirit, in the form of a dove,
confirmed the truth of the word.
Christ our God, who revealed yourself
and gave light to the world, glory to you.

2 Φεβρουαρίου. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σύ, Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν ᾿Ανάστασιν.

25 Μαρτίου. Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ᾿ αἰῶνος μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ καὶ ἡμεῖς σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

2 February. The Meeting of our Lord Jesus Christ

Hail, favoured one, Virgin Theotokos,
for from you dawned the Sun of righteousness, Christ our God,
enlightening those in darkness.
Rejoice also, righteous Elder,
as you receive in your arms the liberator of our souls,
who also bestows on us the Resurrection.

25 March. The Annunciation of the most holy Theotokos

Today is the crowning moment of our salvation,
and the revealing of the eternal mystery:
the Son of God becomes the Son of the Virgin,
and Gabriel brings the good tidings of God's favour.
Therefore with him let us cry aloud to the Theotokos:
Hail, favoured one; the Lord is with you.

Τῇ Κυριακῇ τῶν Βαΐων

Τὴν κοινὴν ἀνάστασιν, πρὸ τοῦ σοῦ πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ Νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ ᾿Αναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Τῇ Πέμπτῃ τῆς ᾿Αναλήψεως

᾿Ανελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Palm Sunday

Before your passion you gave us a pledge
of the resurrection of all,
you raised up Lazarus from the dead, Christ our God;
therefore like the children,
bearing the symbols of victory,
we cry out to you, the victor over death:
Hosanna in the highest,
blessed is he who comes in the name of the Lord.

Buried with you through Baptism, Christ our God,
we have been granted immortal life by your Resurrection;
we sing your praises crying out:
Hosanna in the highest,
blessed is he who comes in the name of the Lord.

Thursday of the Ascension

You were taken up in glory, Christ our God,
and gave joy to the Disciples,
by the promise of the Holy Spirit;
for they were assured by the blessing
that you are the Son of God,
the redeemer of the world.

Τῇ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας· Φιλάνθρωπε, δόξα σοι.

6 Αὐγούστου. Ἡ Μεταμόρφωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

Μετεμορφώθης ἐν τῷ ὄρει, Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου· Φωτοδότα, δόξα σοι.

15 Αὐγούστου. Ἡ Κοίμησις τῆς ὑπεραγίας Θεοτόκου

Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας· ἐν τῇ κοιμήσει τὸν κόσμον οὐ κατέλιπες, Θεοτόκε· μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Sunday of Pentecost

Blessed are you, Christ our God,
who revealed the fishermen as most wise,
sending down on them the Holy Spirit,
and through them casting a net over all the world;
Loving One, glory to you.

6 August. The Transfiguration of our Lord Jesus Christ

You were transfigured on the mount, Christ our God,
showing your Disciples your glory,
as much as they could bear.
Shine also on us sinners your eternal light,
through the intercessions of the Theotokos.
Giver of light, glory to you.

15 August. The Dormition of the most holy Theotokos

When you gave birth you kept your virginity,
when you fell asleep you did not abandon the world, O Theotokos.
You passed into life, you who are the mother of life,
who through your intercessions
redeem our souls from death.

ΔΙΑΦΟΡΟΙ ΥΜΝΟΙ

Τὸ Κοντάκιον τῆς Θεοτόκου

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τὸ Ἀναστάσιμον Τροπάριον

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Κοντάκιον

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε, νύμφη ἀνύμφευτε.

OTHER HYMNS

Kontakion of the Theotokos

Protector of Christians,
champion undefeated,
mediator most sure with our creator,
disregard not the voice of prayer of sinners,
but come quickly in your goodness,
to help us who cry out to you with faith:
Be swift to intercede,
make haste to supplicate,
O Theotokos, protector always
of those who honour you.

Resurrection Troparion

Christ is risen from the dead,
trampling down death by death,
and on those in the tombs bestowing life.

Kontakion

To you, my Champion and Commander,
I your City, saved from disasters, dedicate,
hymns of victory and thanksgiving,
O Theotokos.
But as you have might unassailable,
from every kind of danger deliver me,
that I may cry out to you:
Hail, O bride unwedded!

Μέγα μεγαλυνάριον τῆς Θεοτόκου

Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναέ, καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. Τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

Great megalynarion of the Theotokos

In you, O favoured one, rejoices all creation, the company of Angels and the human race together. O hallowed temple and spiritual paradise, the boast of virgins, from you God became incarnate, and our God who existed before the ages became a child for us. For he made your womb a throne, made it wider than the heavens. In you, O favoured one, rejoices all creation; glory to you.

ΕΥΧΑΙ ΠΡΟ ΤΗΣ ΘΕΙΑΣ ΚΟΙΝΩΝΙΑΣ
Ἐκ τῆς Ἀκολουθίας τῆς Θείας Μεταλήψεως

Ἄρτος ζωῆς αἰωνιζούσης γενέσθω μοι τὸ Σῶμά σου τὸ ἅγιον, εὔσπλαγχνε Κύριε, καὶ τὸ τίμιον Αἷμα καὶ νόσων πολυτρόπων ἀλεξητήριον.

Ὡς πῦρ γενηθήτω μοι καὶ ὡσεὶ φῶς τὸ Σῶμά σου καὶ τὸ Αἷμα, Σωτήρ μου, τὸ τιμιώτατον, φλέγον ἁμαρτίας τὴν ὕλην καὶ ἐμπιπρῶν παθῶν τὰς ἀκάνθας, καὶ ὅλον φωτίζον με προσκυνεῖν σου τὴν Θεότητα.

Ψαλμὸς ΚΒ΄

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.
Εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν, ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.
Τὴν ψυχήν μου ἐπέστρεψεν, ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ.
Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.
Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με.
Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.
Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

PREPARATION FOR HOLY COMMUNION
From the Service of Holy Communion

May your holy Body be for me the bread of life everlasting, compassionate Lord, and may your precious Blood be a protection from all illness.

May your most precious Body and Blood be to me as fire and light, my Saviour, consuming the substance of sin and burning the thorns of my passions, and enlightening the whole of me to worship your Divinity.

Psalm 22

The Lord is my shepherd, and I will lack nothing.
In a place of green pasture, there has he made me dwell, beside the water of rest has he nurtured me.
He has converted my soul, he has led me on the paths of righteousness for his name's sake.
For though I walk in the midst of the shadow of death, I will fear no evil, for you are with me.
Your rod and your staff have comforted me.
You have prepared a table before me, in the presence of those who afflict me.
You have anointed my head with oil, and your cup fills me abundantly.
Your mercy will pursue me all the days of my life, and I will dwell in the house of the Lord my whole life long.

Εὐχὴ τοῦ Μεγάλου Βασιλείου

Οἶδα, Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος, καὶ ἔνοχός εἰμι, καὶ κρῖμα ἐμαυτῷ ἐσθίω καὶ πίνω, μὴ διακρίνων τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Χριστοῦ καὶ Θεοῦ μου· ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαρρῶν, προσέρχομαί σοι τῷ εἰπόντι· Ὁ τρώγων μου τὴν Σάρκα καὶ πίνων μου τὸ Αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Σπλαγχνίσθητι οὖν, Κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν, ἀλλὰ ποίησον μετ᾽ ἐμοῦ κατὰ τὸ ἔλεός σου· καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα εἰς ἴασιν, καὶ κάθαρσιν, καὶ φωτισμόν, καὶ φυλακτήριον, καὶ σωτηρίαν, καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν πάσης φαντασίας καὶ πονηρᾶς πράξεως καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης, εἰς παρρησίαν καὶ ἀγάπην τὴν πρὸς σέ, εἰς διόρθωσιν βίου καὶ ἀσφάλειαν, εἰς αὔξησιν ἀρετῆς καὶ τελειότητος, εἰς πλήρωσιν ἐντολῶν, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Εὐχὴ Ἰωάννου τοῦ Χρυσοστόμου

Οὐκ εἰμὶ ἱκανός, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου· ἀλλ᾽ ἐπειδὴ βούλῃ σύ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐν ἐμοί, θαρρῶν προσέρχομαι. Κελεύεις ἀναπετάσω τὰς πύλας, ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας, ὡς πέφυκας· εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. Πιστεύω ὡς τοῦτο ποιήσεις· οὐ γὰρ

Prayer of St Basil the Great

I know, Lord, that I partake of your pure Body and precious Blood unworthily, and that I am guilty, and eat and drink judgement to myself, not discerning your Body and Blood, Christ my God. But encouraged by your mercy, I approach you who said, He who eats my Flesh and drinks my Blood abides in me and I in him. Have compassion therefore, Lord, and do not make an example of me a sinner, but deal with me according to your mercy; and let these holy gifts be to me for healing, purification, illumination, protection, salvation, and sanctification of both soul and body; for the averting of every fantasy and evil deed and activity of the devil working in my members through my thoughts; for confidence and love towards you, for amendment of life, for security, for increase of virtue and perfection, for keeping of the commandments, for communion with the Holy Spirit, for sustenance on the journey of eternal life, and for an acceptable defence at your fearful judgement seat, not for judgement or condemnation.

Prayer of St John Chrysostom

I am not worthy, Master and Lord, that you should enter under the roof of my soul; but since you in your loving kindness wish to dwell in me, with courage I approach. You bid me open wide the gates which you alone have created, that you may enter with loving kindness, as is your nature, that

Πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ Τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ Ληστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ Διώκτην μετανοήσαντα κατέλιπες ὃ ἦν· ἀλλὰ τοὺς ὑπὸ τῆς μετανοίας σοι προσαχθέντας, ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος, πάντοτε, νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

Εὐχὴ Ἰωάννου τοῦ Δαμασκηνοῦ

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδέ μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων καὶ ἐνδόξων καὶ ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων, μὴ εἰς κόλασιν, μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ᾽ εἰς καθαρισμόν, καὶ ἁγιασμόν, καὶ ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας, εἰς τεῖχος καὶ βοήθειαν καὶ ἀνατροπὴν τῶν ἐναντίων, καὶ εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. Σὺ γὰρ εἶ Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

you may enter and enlighten my darkened mind. I believe that you will do this, for you did not turn away from the Harlot who approached you with tears, you did not reject the Tax Collector who repented, you did not drive away the Thief who recognised your kingdom, you did not abandon the Persecutor who repented of what he was; but all who were brought to you by repentance you established in the choir of your friends, you who alone are blessed, always, now and to the endless ages. Amen.

Prayer of St John of Damascus

Master, Lord Jesus Christ our God, who alone have authority to forgive sins: as a good and loving God, overlook all my faults, committed in knowledge or in ignorance, and make me worthy to receive without condemnation your divine, glorious, pure and life-giving mysteries, not for punishment, or for an increase of sins, but for purification and sanctification, and as a pledge of the life and kingdom to come; as a defence and a help, for the overturning of enemies, and for the wiping out of my many transgressions. For you are a God of mercy and compassion and loving kindness, and to you we offer glory, with the Father and the Holy Spirit, now and ever and to the ages of ages. Amen.

Εὐχὴ Συμεὼν τοῦ Μεταφραστοῦ

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι᾽ οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον, τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος θείου ἐπελεύσει, καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου, Χριστὲ Ἰησοῦ, σοφία Θεοῦ, καὶ εἰρήνη, καὶ δύναμις· ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν σταυρόν, τοὺς ἥλους, τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σου τὰ τοῦ ᾍδου σκυλεύσας βασίλεια, θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ ἀναστάσει τὸν πεπτωκότα προπάτορα ἀναστήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σου ἀναλήψει τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα, καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρός, ἀξίωσόν με, διὰ τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ Παρακλήτου Πνεύματος σκεύη τίμια τοὺς ἱερούς σου μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. Ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις τῷ ποιητῇ καὶ πλάστῃ μου σὺν πᾶσι τοῖς ἁγίοις σου· ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Prayer of Symeon the Translator

O only pure and incorrupt Lord, who through the indescribable compassion of your love for us assumed our whole substance from the pure and virginal blood of the one who, surpassing nature, conceived you by the visitation of the Holy Spirit, and by the good pleasure of the everlasting Father; O Christ Jesus, the wisdom, peace and power of God, who assumed our human nature and accepted your life-giving and saving passion, the cross, the nails, the spear and death, put to death the soul-destroying passions of my body. You who despoiled the kingdom of Hades by your burial, bury my evil schemes by means of good thoughts and scatter the spirits of evil. You who, by your life-giving resurrection on the third day, raised up our fallen forefather, raise me up who have slipped down into sin, and set before me ways of repentance. You who, by your glorious ascension, deified the human flesh that you assumed, honouring it by your sitting at the right hand of the Father, make me worthy, through the partaking of your holy mysteries, to be among those on your right who are saved. You who, by the dwelling of the Spirit, the Comforter, made your holy disciples precious vessels, make me also a receptacle of his coming. You who are to come again to judge the world in righteousness, be pleased to grant that I also may meet you, my maker and creator, in the clouds with all your saints, so that I

Εὐχὴ Ἰωάννου τοῦ Δαμασκηνοῦ

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλὰ σὺ Χριστὲ ὁ Θεός, ὁ Τελώνην δικαιώσας, καὶ Χαναναίαν ἐλεήσας, καὶ τῷ Ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου καὶ δέξαι με προσερχόμενον καὶ ἁπτόμενόν σου, ὡς τὴν Πόρνην, καὶ τὴν αἱμόρρουν· ἡ μὲν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τὴν ἴασιν ἔλαβεν, ἡ δέ, τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγὼ δὲ ὁ ἐλεεινός, ὅλον σου τὸ σῶμα τολμῶν δέξασθαι, μὴ καταφλεχθείην· ἀλλὰ δέξαι με ὥσπερ ἐκείνας, καὶ φώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καὶ τῶν ἐπουρανίων Δυνάμεων. Ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αἱ ὑπόλοιποι εὐχαὶ αἱ λεγόμεναι ἐν τῇ Θείᾳ Λειτουργίᾳ, σελ. 92.

may glorify and praise you without end, with your eternal Father and your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages. Amen.

Prayer of St John of Damascus

Before the gates of your temple I stand, yet I cannot give up my fearful thoughts; but, Christ our God, who accepted the Tax Collector as righteous, had mercy on the Canaanite woman, and opened the gates of paradise to the Thief, open to me the depths of your loving kindness, and receive me as I approach and touch you, as you received the Harlot and the woman with the flow of blood: for one, by touching the hem of your garment, readily received healing, the other, who took hold of your pure feet, obtained release from her sins. May I, who am in need of your mercy, not be consumed by fire as I dare to receive the whole of your body; but receive me as you received them, and enlighten the senses of my soul, burning up the record of my sins; through the intercessions of the one who bore you without seed, and the heavenly Powers. For blessed are you, to the ages of ages. Amen.

The prayers said during the Divine Liturgy are found above, *p. 93.*

ΕΥΧΑΡΙΣΤΙΑ
ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΚΟΙΝΩΝΙΑΝ

Στίχοι προτρεπτικοί

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
Ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα,
Καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.

Ἀνωνύμου

Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου μυστήρια, ἐπ᾽ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι᾽ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντός, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον

THANKSGIVING
AFTER HOLY COMMUNION

Verses of Instruction

When you have attained the beauty of partaking
Of the life-giving, mystical gifts,
At once give praise and offer thanks,
And from your soul say fervently to God:
Glory to you, O God. Glory to you, O God. Glory to you, O God.

Anonymous

I thank you, Lord my God, for not rejecting me a sinner, but making me worthy to be a partaker of your holy things. I thank you for making me, who am unworthy, worthy to partake of your pure and heavenly gifts. But loving Master, who died for us and rose again and bestowed on us these your dread and life-giving mysteries, for the benefit and sanctification of our souls and bodies, grant that they may be to me for the healing of both soul and body, for the averting of everything hostile, for the illumination of the eyes of my heart, for the peace of my spiritual powers, for faith unashamed, for love unfeigned, for the fullness of wisdom, for the observing of your commandments, for the increase of your divine grace, and the attainment of your kingdom; so that protected by them in your holiness I may always remember your grace and no longer live for myself, but for you our Master and bene-

καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετόν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μεγάλου Βασιλείου

Δέσποτα Χριστὲ ὁ Θεός, Βασιλεῦ τῶν αἰώνων, καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε, φύλαξόν με ὑπὸ τὴν σκέπην σου καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Συμεὼν τοῦ Μεταφραστοῦ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μή, πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.

factor. And so when I have departed this life in the hope of eternal life, may I attain to everlasting rest, where the sound of festival is unceasing, and the pleasure is endless of those who behold the indescribable beauty of your countenance. For you are that which is truly desired, and the inexpressible gladness of those who love you, Christ our God, and all creation praises you for ever. Amen.

Prayer of St Basil the Great

Master, Christ our God, King of the ages and creator of all, I thank you for all the good things you have bestowed on me and for the partaking of your pure and life-giving mysteries. I ask you therefore, good and loving one, guard me under your protection and in the shadow of your wings; and grant that with a pure conscience until my last breath I may worthily partake of your holy gifts for the forgiveness of sins and eternal life. For you are the bread of life, the source of holiness, and the giver of good, and to you we offer glory, with the Father and the Holy Spirit, now and ever and to the ages of ages. Amen.

Poem of Symeon the Translator

You willingly give me your flesh for food,
you are an eternal fire which burns the unworthy,
do not burn me up, don't, my maker;
rather penetrate the structure of my limbs,
into all my joints, into my nerves, into my heart.

Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·
τὰς ἰγνύας στήριξον, ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με
ἐκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου.
Ἅγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με·
κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν' ὡς σὸν οἶκον, εἰσόδῳ Κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖσδε, σὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,
καὶ φωτὸς παῖδα, τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης,
καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

Ἀνωνύμου

Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ Εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην·

Burn instead the thorns of all my failings;
cleanse my soul and sanctify my mind;
make my muscles sturdy, my bones too;
enlighten my five simple senses;
nail down the whole of me with fear of you.
Always protect, guard and keep me
from every soul-destroying deed and word.
Hallow me, purify me and bring me into harmony;
give me beauty, understanding and light;
show me to be the dwelling only of your spirit,
and no longer the dwelling place of sin;
so that by the entry of Communion,
every evil one, every passion
may flee from me your home, as from fire.
I bring you as intercessors all the Saints,
the companies of Bodiless Angels,
your Forerunner, the wise Apostles,
and with them your pure and holy Mother;
accept their prayers, my compassionate Christ,
and make your servant a child of light.
For you alone, O Good One,
are the sanctification of our souls,
and their brightness,
and to you as is fitting, our God and Master,
we all give glory every day.

Anonymous

May your holy Body, Lord Jesus Christ our God, be to me for eternal life, and your precious Blood for the forgiveness of sins. And may this Eucharist be

καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Ἀνωνύμου

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με μέχρι τελευταίας μου ἀναπνοῆς ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὕμνος τοῦ Συμεών

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων

to me for joy, health and gladness; and in your fearful second coming make me, a sinner, worthy to stand at the right hand of your glory, through the intercessions of your all-pure Mother and all your Saints. Amen.

Anonymous

All-holy Lady Theotokos, the light of my darkened soul, my hope, protection, refuge, consolation and joy, I thank you for making me, who am unworthy, worthy to partake of the pure Body and precious Blood of your Son. But you who gave birth to the true light, enlighten the spiritual eyes of my heart; you who conceived the source of immortality, give life to me who am dead through sin; you the compassionate Mother of the merciful God, have mercy on me and give me compunction and contrition in my heart, humility in my reasoning, and the recall of my thoughts from captivity. And make me worthy until my last breath to receive without condemnation the sanctification of the pure mysteries, for the healing of both soul and body; and grant me tears of repentance and confession, so that I may praise and glorify you all the days of my life. For you are blessed and glorified for ever. Amen.

Song of Symeon

Now you let your servant depart in peace, Master, according to your word. For my eyes have seen your salvation, which you have prepared before the face

τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

of all peoples, a light for revelation to the nations, and the glory of your people Israel.

Trisagion

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.
Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.
Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Glory to the Father and the Son and the Holy Spirit;
Both now and ever and to the ages of ages. Amen.

All-holy Trinity, have mercy on us. Lord, be merciful to our sins. Master, forgive our transgressions. Holy One, visit us and heal our infirmities, for your name's sake. Lord have mercy, Lord have mercy, Lord have mercy.

Glory to the Father and the Son and the Holy Spirit;
Both now and ever and to the ages of ages. Amen.

Our Father in heaven,
hallowed be your name,
your kingdom come,
your will be done on earth as it is in heaven.
Give us today our daily bread,
and forgive us our sins,
as we forgive those who sin against us.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπολυτίκια

Τῆς ἑορτῆς, εἰ ἔστι Δεσποτικὴ ἢ Θεομητορικὴ ἑορτή
Τοῦ Ἁγίου τῆς ἡμέρας καὶ τὸ Θεοτοκίον
Τοῦ ναοῦ

Ἀπολυτίκιον τοῦ ἱεροῦ Χρυσοστόμου

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τοῦ ἱεροῦ Χρυσοστόμου

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε, ὅσιε. Ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

And lead us not into temptation,
but deliver us from evil.

For yours is the kingdom and the power and the glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages. Amen.

Dismissal Hymns

Of the feast, if of the Lord or the Theotokos
Of the Saint of the day, with Theotokion
Of the church

Dismissal Hymn of St John Chrysostom

The grace shining forth from your mouth as a torch has illumined the earth,
has stored up for the world treasures of generosity,
and has shown to us the height of humility.
As you teach with your words, Father John Chrysostom,
intercede with the Word, Christ our God,
that our souls may be saved.

Kontakion of St John Chrysostom

From the heavens you received divine grace,
and through your lips you teach all to worship the one God in Trinity,
John Chrysostom, all-blessed holy one.
Worthily we praise you,
for you are a teacher,
revealer of things divine.

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστούς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν· Τοῦτον τὸν οἶκον στερέωσον, Κύριε.

Κύριε, ἐλέησον *(ιβ΄)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

[Ἀπόλυσις]

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

The Church is heaven filled with many lights, and guides all the faithful by its light. We stand therein and cry aloud: Strengthen this house, O Lord.

Lord, have mercy… *(12 times)*

Glory to the Father and the Son and the Holy Spirit; Both now and ever and to the ages of ages. Amen.

More honourable than the Cherubim, incomparably more glorious than the Seraphim, who undefiled gave birth to God the Word, true Theotokos, we magnify you.

[Dismissal]

Through the prayers of our holy Fathers, Lord Jesus Christ our God, have mercy on us and save us. Amen.

ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΡΤΟΚΛΑΣΙΑΣ
ἢ
Εὐλόγησις Ἄρτων

Ἡ ἀκολουθία αὕτη τελεῖται ἐν τῷ Ἑσπερινῷ, ἀλλὰ κατ' οἰκονομίαν ἐπιτρέπεται ἵνα τελεσθῇ εἰς τὸ τέλος τοῦ Ὄρθρου πρὸ τῆς Θείας Λειτουργίας.

Διάκονος· **Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομη-

BLESSING OF LOAVES
or
“Artoklasia”

This service is properly held at Vespers, but may also take place at the end of the Orthros before the Divine Liturgy.

Deacon: **H**ave mercy on us, O God, according to your great mercy, we ask you, hear us and have mercy.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for pious and Orthodox Christians.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for our Archbishop (name) and all our brotherhood in Christ.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for mercy, life, peace, health, salvation, visitation, pardon and forgiveness of sins for the servants of God, the parishioners, church committee, supporters and

τῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου, καὶ τῶν δούλων αὐτοῦ (ὀνόματα*), τῶν ἐπιτελούντων τὴν ἁγίαν ἑορτὴν ταύτην.
Μνημονεύει τῶν ὀνομάτων τῶν προσκομισάντων τοὺς ἄρτους.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Λαός· **Ἀμήν.**

benefactors of this holy temple, and the servants of God (names*), who celebrate this holy feast.

**He mentions by name those who have presented the loaves.*

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray that this holy church and this city, and every city and country, may be protected from anger, plague, famine, earthquake, flood, fire, sword, foreign invasion, civil war and sudden death; and that our good and loving God may be merciful, gracious and kindly-disposed, and may divert and disperse all anger and disease coming against us, and deliver us from his own just threat hanging over us, and have mercy on us.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray that the Lord our God may hear the voice of prayer of us sinners, and have mercy on us.

People: **Amen.**

Ἱερεύς· **Ἐ**πάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

Ἱερεύς· **Ε**ἰρήνη πᾶσι.

Λαός· **Καὶ τῷ πνεύματί σου**.

Διάκονος· **Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Λαός· **Σοί, Κύριε**.

Ἱερεύς· **Δ**έσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν Ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν

Priest: **H**ear us, God our Saviour, the hope of all the ends of the earth and of those far off at sea; and be merciful, be merciful to our sins, Master, and have mercy on us. For you are a merciful and loving God, and to you we offer glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

Priest: **P**eace be with you all.

People: **And with your spirit.**

Deacon: **L**et us bow our heads to the Lord.

People: **To you, O Lord.**

Priest: **M**erciful Master, Lord Jesus Christ our God, through the intercessions of our all-pure Lady Theotokos and ever-virgin Mary; through the power of the precious and life-giving Cross; through the protection of the honoured bodiless Powers of heaven; through the supplications of the honoured, glorious Prophet and Forerunner John the Baptist; of the holy, glorious and praiseworthy Apostles; of our fathers among the Saints, great hierarchs and ecumenical teachers Basil the Great, Gregory the

διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τῶν ἐν Ἁγίοις πατέρων ἡμῶν, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου, ἐπισκόπου Μύρων τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν Θαυματουργῶν· τῶν ἁγίων, ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, Μηνᾶ τοῦ Θαυματουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ Ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων·

Εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Λαός· **Ἀμήν**.

Theologian and John Chrysostom; of our fathers among the Saints Athanasius and Cyril, and John the Merciful, patriarchs of Alexandria, of Nicholas bishop of Myra in Lycia, and Spyridon bishop of Trimythous, the Miracle-workers; of the holy, glorious great martyrs George the Trophy-bearer, Demetrius the Myrrh-exuding, Theodore the Recruit and Theodore the General, Menas the Miracle-worker, the holy martyrs Haralambos and Eleftherios; of our holy and God-bearing Fathers and Mothers; of Saint (of the church); of the holy and righteous Ancestors of God Joachim and Anna; of Saint (name), whose memory we keep today, and of all your Saints;

Make our prayer acceptable; grant us forgiveness of our transgressions; protect us under the shelter of your wings; drive away from us every enemy and foe; make our life peaceful; Lord, have mercy on us and on your world, and save our souls, as a good and loving God.

People: **Amen.**

Ἱερεύς· **Θ**εοτόκε Παρθένε, χαῖρε κεχαριτωμένη Μαρία· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου,

Λαός· **Ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.**

Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, ἀντὶ τοῦ Θεοτόκε Παρθένε, *ψάλλεται τό·* Χριστὸς ἀνέστη.

Εὐχή

Διάκονος· **Τ**οῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Ἱερεύς· **Κ**ύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ, καὶ ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, τὸν σῖτον, τὸν οἶνον καὶ τὸ ἔλαιον· καὶ πλήθυνον αὐτὰ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, τῇ πόλει ταύτῃ, ἐν τοῖς οἴκοις τῶν ἑορταζόντων καὶ ἐν τῷ κόσμῳ σου ἅπαντι· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Priest: **T**heotokos, Virgin, hail favoured one, Maria; the Lord is with you; blessed are you among women, and blessed is the fruit of your womb,

People: **For you gave birth to the Saviour of our souls.**

In Renewal Week, Christ is risen *is sung instead of* Theotokos, Virgin.

Prayer

Deacon: **L**et us pray to the Lord.

People: **Lord, have mercy.**

Priest: **L**ord Jesus Christ our God, who blessed the five loaves in the desert, and with them fed five thousand men, bless also these loaves, the wheat, wine and oil, and multiply them in this holy church, in this city, in the homes of those who celebrate this holy feast, and in all your world; and sanctify your faithful servants who partake of them. For you are the one who blesses and sanctifies all things, Christ our God, and to you we offer glory, with your eternal Father and your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages.

Λαός· **Ἀμήν.**

Ἱερεύς· **Π**λούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Λαός· **Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.**

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

People: **Amen.**

Priest: The rich became poor and went hungry; but those who seek the Lord will not be lacking in any good thing.

People: **The rich became poor and went hungry; but those who seek the Lord will not be lacking in any good thing.**

The rich became poor and went hungry; but those who seek the Lord will not be lacking in any good thing.

ΑΚΟΛΟΥΘΙΑ ΕΠΙ ΜΝΗΜΟΣΥΝῼ

Εὐλογητάρια

Στίχος. **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορὸς εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν Παραδείσου· εὕρω κἀγὼ τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

Στίχος. **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντων πλάσας με καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ᾽ ὁμοίωσιν ἐπανάγαγε τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Στίχος. **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

MEMORIAL SERVICE

Evlogitaria

Verse. **B**lessed are you, Lord, teach me your judgements.

The choir of the Saints has found the fountain of life and the door of Paradise.
May I also find the way through repentance.
I am the sheep that is lost; Saviour, call me back and save me.

Verse. **B**lessed are you, Lord, teach me your judgements.

Of old you created me from nothing
and honoured me with your divine image.
But when I disobeyed your commandment, Lord,
you returned me to the earth from which I was taken.
Lead me back again to your likeness,
and renew my original beauty.

Verse. **B**lessed are you, Lord, teach me your judgements.

Εἰκών εἰμι τῆς ἀρρήτου δόξης σου εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Στίχος. **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, ὁ Θεός, ⌜τὸν δοῦλόν⌝ σου καὶ κατάταξον ⸢αὐτὸν⸣ ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· ⊤τὸν κεκοιμημένον δοῦλόν⊤ σου ἀνάπαυσον, παρορῶν ⫪αὐτοῦ⫪ πάντα τὰ ἐγκλήματα.

⌜τὴν δούλην / τοὺς δούλους / τὰς δούλας⌝
⸢αὐτὴν / αὐτοὺς / αὐτὰς⸣
⊤τὴν κεκοιμημένην δούλην / τοὺς κεκοιμημένους δούλους / τὰς κεκοιμημένας δούλας⊤
⫪αὐτῆς / αὐτῶν⫪

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·

Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ τὸ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

I am an image of your inexpressible glory,
though I bear the scars of my transgressions.
In your loving kindness, Master, have
compassion
and cleanse the person you have formed.
Grant me the homeland for which I long,
and once again make me a citizen of Paradise.

Verse. **B**lessed are you, Lord, teach me your
judgements.

Give rest, O God, to your servant/s, and place
him/her/them in Paradise,
where the choirs of the Saints and the righteous
will shine out as bright lights.
Give rest to your departed servant/s, Lord,
and overlook all his/her/their offences.

Glory to the Father and the Son and the Holy
Spirit;

Let us devoutly raise our voice in praise of the
threefold radiance of the one God:
Holy are you, eternal Father, co-eternal Son and
divine Spirit.
Fill us with light who worship you in faith,
and pluck us from the eternal fire.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Χαῖρε, σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν, δι᾿ ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη.

᾿Αλληλούϊα, ᾿Αλληλούϊα, ᾿Αλληλούϊα. Δόξα σοι, ὁ Θεός.
᾿Αλληλούϊα, ᾿Αλληλούϊα, ᾿Αλληλούϊα. Δόξα σοι, ὁ Θεός.
᾿Αλληλούϊα, ᾿Αλληλούϊα, ᾿Αλληλούϊα. Δόξα σοι, ὁ Θεός.

Κοντάκιον

Μετὰ τῶν ῾Αγίων ἀνάπαυσον, Χριστέ, ⌜τὴν ψυχὴν τοῦ δούλου σου⌝, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

⌜τὴν ψυχὴν τῆς δούλης σου / τὰς ψυχὰς τῶν δούλων σου⌝

Both now and ever and to the ages of ages.
Amen.

Hail, honoured Lady, who gave birth to God in the flesh to save us all,
and through whom the human race has found salvation.
Through you may we find Paradise,
O Theotokos pure and blessed.

Alleluia, Alleluia, Alleluia. Glory to you, O God.
Alleluia, Alleluia, Alleluia. Glory to you, O God.
Alleluia, Alleluia, Alleluia. Glory to you, O God.

Kontakion

With the Saints give rest, O Christ,
to the soul/s of your servant/s,
where there is no pain,
nor sorrow, nor sighing,
but life everlasting.

Τροπάρια

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, ⸢τὴν ψυχὴν τοῦ δούλου σου⸣, Σῶτερ, ἀνάπαυσον, φυλάττων ⸉αὐτὴν⸊ εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε.

⸢τὴν ψυχὴν τῆς δούλης σου / τὰς ψυχὰς τῶν δούλων σου⸣ ⸉αὐτὰς⸊

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ ⸢τὴν ψυχὴν τοῦ δούλου σου⸣, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

⸢τὴν ψυχὴν τῆς δούλης σου / τὰς ψυχὰς τῶν δούλων σου⸣

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·

Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ ⸢τὴν ψυχὴν τοῦ δούλου σου⸣, Σῶτερ, ἀνάπαυσον.

⸢τὴν ψυχὴν τῆς δούλης σου / τὰς ψυχὰς τῶν δούλων σου⸣

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀφράστως κυήσασα, πρέσβευε τοῦ ἐλεηθῆναι ⸢τὴν ψυχὴν τοῦ δούλου σου⸣.

⸢τὴν ψυχὴν τῆς δούλης σου / τὰς ψυχὰς τῶν δούλων σου⸣

Troparia

With the spirits of the righteous made perfect,
give rest, Saviour, to the soul/s of your servant/s;
keep it/them in the life of blessedness that is with you, Loving One.

In your repose, O Lord, where all your Saints find rest,
give rest to the soul/s of your servant/s,
for you only are immortal.

Glory to the Father and the Son and the Holy Spirit;

You are our God who descended into Hades,
and released from pain those who had been bound;
give rest, Saviour, also to the soul/s of your servant/s.

Both now and ever and to the ages of ages. Amen.

Only pure and spotless Virgin,
who indescribably gave birth to God,
intercede for mercy for the soul/s of your servant/s.

Αἱ Δεήσεις

Διάκονος· **Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ἔ**τι δεόμεθα ὑπὲρ ἀναπαύσεως ⌜τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου⌝ τοῦ Θεοῦ (...) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι ʿαὐτῷʾ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

⌜τῆς ψυχῆς τῆς κεκοιμημένης δούλης / τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων⌝
ʿαὐτῇ / αὐτοῖς / αὐταῖςʾ

Λαός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Διάκονος· **Ὅ**πως Κύριος ὁ Θεὸς τάξῃ ⌜τὴν ψυχὴν αὐτοῦ⌝ ἔνθα οἱ δίκαιοι ἀναπαύονται·

[*Λαός·* Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.]

Διάκονος· **Τ**ὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν ʿαὐτοῦʾ ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

⌜τὴν ψυχὴν αὐτῆς / τὰς ψυχὰς αὐτῶν⌝
ʿαὐτῆς / αὐτῶνʾ

[*Λαός·* Παράσχου, Κύριε.]

Litany

Deacon: **H**ave mercy on us, O God, according to your great mercy, we ask you, hear us and have mercy.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **A**gain, we pray for the repose of the soul/s of the servant/s of God (name) who has/have fallen asleep, and that he/she/they may be forgiven every offence, both voluntary and involuntary.

People: **Lord, have mercy. Lord, have mercy. Lord, have mercy.**

Deacon: **T**hat the Lord our God may place his/her/their soul/s where the righteous rest;

[*People:* Lord, have mercy. Lord, have mercy. Lord, have mercy.]

Deacon: **F**or the mercies of God, the kingdom of heaven and the forgiveness of his/her/their sins, let us ask of Christ our immortal King and God.

[*People:* Grant this, O Lord.]

Εὐχή

Διάκονος· **Τ**οῦ Κυρίου δεηθῶμεν.

Λαός· **Κύριε, ἐλέησον**.

Ἱερεύς· **Ὁ** Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον ⌜τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου⌝ σου (...), ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα τὸ ʿπαρ᾽ αὐτοῦʾ πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις ⊤τοῦ κεκοιμημένου δούλου⊤ σου (...), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

⌜τὴν ψυχὴν τῆς κεκοιμημένης δούλης / τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων⌝

ʿπαρ᾽ αὐτῆς / παρ᾽ αὐτῶνʾ

Prayer

Deacon: **L**et us pray to the Lord.

People: **Lord, have mercy.**

Priest: **O** God of spirits and all flesh, you have trampled down death, made the devil powerless, and given life to your world; give rest, Lord, to the soul/s of your servant/s (name) who has/have fallen asleep, in a place of light, in a place of green pasture, in a place of refreshment, from where pain, sorrow and sighing have fled. As a good and loving God, forgive every sin committed by him/her/them in word, deed or thought; for there is no one who lives and does not sin; you alone are without sin, your righteousness endures for ever, and your law is truth.

For you are the resurrection, the life and the repose of your servant/s (name) who has/have fallen asleep, Christ our God, and to you we offer glory, with your eternal Father and your all-holy, good and life-giving Spirit, now and ever and to the ages of ages.

People: **Amen.**

⸆τῆς κεκοιμημένης δούλης / τῶν κεκοιμημένων δούλων⸆

Λαός· **Ἀμήν.**

Ἱερεύς· **Αἰ**ωνία σου ἡ μνήμη, ⸢ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ⸣ ἡμῶν.

⸢ἀξιομακάριστος καὶ ἀείμνηστος ἀδελφὴ / ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφοὶ / ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφαὶ⸣

Αἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη, αἰωνία ⸢αὐτοῦ⸣ ἡ μνήμη.

Αἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη, αἰωνία ⸢αὐτοῦ⸣ ἡ μνήμη.

Αἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη, αἰωνία ⸢αὐτοῦ⸣ ἡ μνήμη.

⸢αὐτῆς / αὐτῶν⸣

Priest: **E**ternal be your memory, our brother/sister, worthy of blessedness and ever-lasting memory.

Eternal be the memory, eternal be the memory,
eternal be his/her/their memory.

Eternal be the memory, eternal be the memory,
eternal be his/her/their memory.

Eternal be the memory, eternal be the memory,
eternal be his/her/their memory.